term, like ἀντιγραφὴ 27 a, is used to designate the ἔγκλημα. Both ἀντωμοσία and ἀντιγραφὴ were properly said of the *defendant's* plea, presented in writing and sworn to, in the ἀνάκρισις, or preliminary proceeding before the archon Basileus. But as the ἔγκλημα was likewise then presented in writing and sworn to, the same words came to be applied to it also. See Introd. p. i.

7. ὧν ἐγὼ] The antecedent of ὧν must be the matters in the ἀντωμοσία, not the immediately preceding words.

οὐδὲν οὔτε μέγα] Accus. cognate, not accus. of the object; Dig. 6. Ἐπαΐω is intransitive.

8. καὶ οὐχ ὡς—ἐστι] This is well-marked irony. Socrates declines here to pronounce, before an audience who would have welcomed it, a condemnation of studies against which at other times he had freely declared himself, on the double ground (1) that *human* nature ought to be studied first, Xen. Mem. I. i. 12, and (2) that the physicists got involved in questions which were really beyond the powers of the human mind, ib. 11, and arrived moreover at impotent conclusions, ib. IV. vii. 6, 7.

10. τοσαύτας] 'Upon so grave a charge' as that of pronouncing upon things of which he

p. 19. δίκας φύγοιμι· ἀλλὰ γὰρ ἐμοὶ τούτων, ὦ ἄνδρες
d Ἀθηναῖοι, οὐδὲν μέτεστι. μάρτυρας δ' αὐτοὺς ὑμῶν
τοὺς πολλοὺς παρέχομαι, καὶ ἀξιῶ ὑμᾶς ἀλλήλους
διδάσκειν τε καὶ φράζειν, ὅσοι ἐμοῦ πώποτε ἀκη-
κόατε διαλεγομένου· πολλοὶ δὲ ὑμῶν οἱ τοιοῦτοί εἰσι· 5
φράζετε οὖν ἀλλήλοις, εἰ πώποτε ἢ σμικρὸν ἢ μέγα
ἤκουσέ τις ὑμῶν ἐμοῦ περὶ τῶν τοιούτων διαλεγομέ-
νου· καὶ ἐκ τούτου γνώσεσθε ὅτι τοιαῦτ' ἐστὶ καὶ
τἆλλα περὶ ἐμοῦ ἃ οἱ πολλοὶ λέγουσιν.

IV. Ἀλλὰ γὰρ οὔτε τούτων οὐδέν ἐστιν, οὐδέ γ' 10
εἴ τινος ἀκηκόατε ὡς ἐγὼ παιδεύειν ἐπιχειρῶ ἀνθρώ-
e που καὶ χρήματα πράττομαι, οὐδὲ τοῦτο ἀληθές.
ἐπεὶ καὶ τοῦτό γέ μοι δοκεῖ καλὸν εἶναι, εἴ τις οἷός
τ' εἴη παιδεύειν ἀνθρώπους ὥσπερ Γοργίας τε ὁ

3. τοὺς] H. brackets. But if we read αὐτοὺς just before, following the weight of MSS., τοὺς is required by the Greek.

was ignorant,—the fault he himself so strongly reprobated in others.

1. ἀλλὰ γὰρ] 'But the truth is.' Dig. 147.

3. τοὺς πολλοὺς] A modest way of saying 'all of you.' Cf. Isocr. xvii. 23. p. 363, τί ἂν ὑμῖν τὰ πολλὰ λέγοιμι; and Rep. 556 a, τὰ πολλὰ τῶν ἑκουσίων συμβολαίων.

ἀλλήλους διδάσκειν τε καὶ φράζειν] This is a hysteron proteron: Dig. 308. With φράζειν is to be supplied of course ἀλλήλοις, dropped by an idiom of abbreviation: Dig. 233.

14. ὥσπερ Γοργίας] Gorgias is spoken of by Isocrates as having made greater profits by teaching than any other man of his profession. Yet the sum was but small: ὁ δὲ πλεῖστα κτησάμενος ὧν ἡμεῖς μνημονεύομεν, Γοργίας ὁ Λεοντῖνος, though a single man and unburdened by Liturgies, χιλίους μόνους στατῆρας κατέλιπε. Isocr. xv. 155. p. 83. The ὑποκριταί, he says, ib. 157, made much greater fortunes. Nor indeed is Socrates saying that the profits made by the Sophists were great. The sum which Socrates mentions below, 20 b, as Evenus' price, 5 minæ (500 francs), seems to have been above the average: Isocrates, xiii. 3. p. 291, speaks of 3 or 4 minæ (3–400 fr.) as a common price. Isocrates has been said, it is true, to have taken as much as 10 minæ for his rhetorical course; Gorgias and Prodicus even 100. But what made the frequenting of Sophists' courses expensive was that people never thought they had had enough of them.

Λεοντῖνος καὶ Πρόδικος ὁ Κεῖος καὶ Ἱππίας ὁ Ἠλεῖος. p. 19.
τούτων γὰρ ἕκαστος, ὦ ἄνδρες, οἷός τ' ἐστὶν ἰὼν
εἰς ἑκάστην τῶν πόλεων τοὺς νέους, οἷς ἔξεστι τῶν
ἑαυτῶν πολιτῶν προῖκα ξυνεῖναι ᾧ ἂν βούλωνται,
τούτους πείθουσι τὰς ἐκείνων ξυνουσίας ἀπολιπόντας p. 20.
σφίσι ξυνεῖναι χρήματα διδόντας καὶ χάριν προσει-
δέναι. ἐπεὶ καὶ ἄλλος ἀνὴρ ἐστι Πάριος ἐνθάδε
σοφός, ὃν ἐγὼ ἠσθόμην ἐπιδημοῦντα· ἔτυχον γὰρ
προσελθὼν ἀνδρὶ ὃς τετέλεκε χρήματα σοφισταῖς
πλείω ἢ ξύμπαντες οἱ ἄλλοι, Καλλίᾳ τῷ Ἱππονίκου·
τοῦτον οὖν ἀνηρόμην—ἐστὸν γὰρ αὐτῷ δύο υἱέε—ὦ
Καλλία, ἦν δ' ἐγώ, εἰ μέν σου τὼ υἱέε πώλω ἢ
μόσχω ἐγενέσθην, εἴχομεν ἂν αὐτοῖν ἐπιστάτην λα-
βεῖν καὶ μισθώσασθαι, ὃς ἔμελλεν αὐτὼ καλώ τε καὶ
ἀγαθὼ ποιήσειν τὴν προσήκουσαν ἀρετήν· ἦν δ' ἂν b
οὗτος ἢ τῶν ἱππικῶν τις ἢ τῶν γεωργικῶν· νῦν δ'
ἐπειδὴ ἀνθρώπω ἐστόν, τίνα αὐτοῖν ἐν νῷ ἔχεις ἐπι-
στάτην λαβεῖν; τίς τῆς τοιαύτης ἀρετῆς, τῆς ἀνθρω-
πίνης τε καὶ πολιτικῆς, ἐπιστήμων ἐστίν; οἶμαι γὰρ

14. καλώ τε καὶ ἀγαθὼ] So Oxon. It seems unnecessary to introduce a synalœpha.

5. τούτους πείθουσι] The construction is changed from the infin. to a finite verb. Dig. 277. The change of construction is not gratuitous, but expresses (ironical) admiration. The passage in Theages, 128 a, is a reminiscence of this passage, including the change of construction.

6. προσειδέναι] The πρὸς stands compounded in its adverbial and not in its prepositional sense. Dig. 129.

7. ἐπεὶ καὶ] The connecting thought is—'and at Athens there is quite as good a field for professed teachers as elsewhere.'

8. ὃν ἐγὼ ἠσθόμην] Socrates implies that he speaks from hearsay when he states ἐστὶν ἐνθάδε.

10. Καλλίᾳ] Cf. Cratyl. 391 b, οἱ σοφισταί, οἵσπερ καὶ ὁ ἀδελφός σου Καλλίας πολλὰ τελέσας χρήματα σοφὸς δοκεῖ εἶναι. "Callias fuit omnium Atheniensium suæ ætatis non modo facile ditissimus, ita ut simpliciter ὁ πλούσιος diceretur, sed etiam nequissimus suique peculii maxime prodigus."—Fischer.

p. 20. σε ἐσκέφθαι διὰ τὴν τῶν υἱέων κτῆσιν. ἔστι τις, ἔφην ἐγώ, ἢ οὔ; Πάνυ γε, ἦ δ' ὅς. Τίς, ἦν δ' ἐγώ, καὶ ποδαπός, καὶ πόσου διδάσκει; Εὐηνός, ἔφη, ὦ Σώκρατες, Πάριος, πέντε μνῶν· καὶ ἐγὼ τὸν Εὐηνὸν
c ἐμακάρισα, εἰ ὡς ἀληθῶς ἔχει ταύτην τὴν τέχνην καὶ οὕτως ἐμμελῶς διδάσκει. ἐγὼ οὖν καὶ αὐτὸς ἐκαλλυνόμην τε καὶ ἡβρυνόμην ἄν, εἰ ἠπιστάμην ταῦτα. ἀλλ' οὐ γὰρ ἐπίσταμαι, ὦ ἄνδρες Ἀθηναῖοι.

V. Ὑπολάβοι ἂν οὖν τις ὑμῶν ἴσως· ἀλλ' ὦ Σώκρατες, τὸ σὸν τί ἐστι πρᾶγμα; πόθεν αἱ διαβολαί σοι αὗται γεγόνασιν; οὐ γὰρ δήπου σοῦ γε οὐδὲν τῶν ἄλλων περιττότερον πραγματευομένου ἔπειτα τοσαύτη φήμη τε καὶ λόγος γέγονεν εἰ μή τι ἔπραττες ἀλλοῖον ἢ οἱ πολλοί· λέγε οὖν ἡμῖν, τί ἐστιν,
d ἵνα μὴ ἡμεῖς περὶ σοῦ αὐτοσχεδιάζωμεν. ταυτί μοι δοκεῖ δίκαια λέγειν ὁ λέγων, κἀγὼ ὑμῖν πειράσομαι ἀποδεῖξαι, τί ποτ' ἔστι τοῦτο ὃ ἐμοὶ πεποίηκε τό τε

c. Exposition of the veritable peculiarities in himself, which had been mistaken for those of Physicist and Sophist,—viz. his conviction of the hollowness of the prevalent pretensions to knowledge,

6. ἐγὼ οὖν] So Oxon. and 2 other MSS. ἔγωγε is not wanted here.

9. Ὑπολάβοι ἂν οὖν] Here Socrates, though still ostensibly occupied with 'the old accusers,' passes from the denial of the imputations current against him as a reputed σοφὸς to an account of the personal dislike which had befallen him individually. See Introd. p. xxvi.

10. πρᾶγμα] In the sense of pursuit, or plan of life or study or the like. Cf. Crito 53 d, τὸ τοῦ Σωκράτους πρᾶγμα, Euthyd. 304 a, τοῦτο τοῦ πράγματος σφῶν, e, χαρίεν γέ τι πρᾶγμά ἐστιν ἡ φιλοσοφία.

The order of the words in this clause gives emphasis to σόν· 'What is it, then, that *you* (since we are not to identify you with the σοφοί) have been about?'

13. εἰ μὴ—πολλοί] This clause is the double of σοῦ γε—πραγματευομένου· an instance of the widely extended idiom which I have ventured to call Binary Structure: Dig. 207. Very parallel is Thuc. V. 97, καὶ τὸ ἀσφαλὲς ἡμῖν διὰ τὸ καταστραφῆναι ἂν παράσχοιτε . . . ., εἰ μὴ περιγένοισθε,—where εἰ μὴ περιγένοισθε repeats διὰ τὸ καταστραφῆναι. Cf. also Hom. Od. ii. 246, Εἴπερ γάρ κ' Ὀδυσεὺς κ.λ., ἀλλά κεν αὐτοῦ ἀεικέα πότμον ἐπίσποι, Εἰ πλεόνεσσι μάχοιτο.

ὄνομα καὶ τὴν διαβολήν. ἀκούετε δή. καὶ ἴσως μὲν p. 20.
δόξω τισὶν ὑμῶν παίζειν, εὖ μέντοι ἴστε, πᾶσαν ὑμῖν
τὴν ἀλήθειαν ἐρῶ· ἐγὼ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, δι'
οὐδὲν ἀλλ' ἢ διὰ σοφίαν τινὰ τοῦτο τὸ ὄνομα ἔσχηκα.
ποίαν δὴ σοφίαν ταύτην; ἥπερ ἐστὶν ἴσως ἀνθρω- e
πινη σοφία. τῷ ὄντι γὰρ κινδυνεύω ταύτην εἶναι
σοφός· οὗτοι δὲ τάχ' ἄν, οὓς ἄρτι ἔλεγον, μείζω τινὰ
ἢ κατ' ἄνθρωπον σοφίαν σοφοὶ εἶεν, ἢ οὐκ ἔχω τί
λέγω· οὐ γὰρ δὴ ἔγωγε αὐτὴν ἐπίσταμαι, ἀλλ' ὅστις
φησὶ ψεύδεταί τε καὶ ἐπὶ διαβολῇ τῇ ἐμῇ λέγει. καί
μοι, ὦ ἄνδρες Ἀθηναῖοι, μὴ θορυβήσητε, μηδ' ἐὰν
δόξω τι ὑμῖν μέγα λέγειν· οὐ γὰρ ἐμὸν ἐρῶ τὸν

1. ὄνομα] Of σοφός. See note on σοφὸς, 18 b.

5. ἥπερ κ.τ.λ.] 'My wisdom is precisely (περ) that only wisdom, as I believe (ἴσως), which is possible to man:' namely (21 d, 23 b), knowledge of his own ignorance. Socrates speaks of this as *knowledge* because it implies two things;—(1) the possession of a standard or ideal of knowledge, with the conception of a method for attaining it; and (2) self-knowledge, such as would result from the Socratic system of self-examination (cf. 38 a, note), revealing the amount of actual short-coming. This is knowledge until the positive knowledge is attained, and if that never can be, then this is the only knowledge. Socrates' faith, however, in the partial attainableness of positive knowledge never wavered, and his misgiving here must be restricted to the possibility of complete attainment.

8. ἢ οὐκ ἔχω τί λέγω] 'Or some wisdom that—I know not how to characterise it.' It is some predicate, alternative with μείζω ἢ κατ' ἄνθρωπον, which Socrates affects to be at a loss for. The idiom is an expedient for abbreviation; the sentence is hurried to its conclusion *after its point has been expressed*, by a clause superseding the enumeration of further particulars: cf. Dig. 257, where the present passage is especially compared with Gorg. 494 d, (A) Φημὶ τὸν κνώμενον ἡδέως ἂν βιῶναι. (B) Πότερον εἰ τὴν κεφαλὴν μόνον κνησιῷ, ἢ ἔτι τί σε ἐρωτῶ;

12. οὐ γὰρ ἐμὸν] Cf. Symp. 177 a, ἡ μέν μοι ἀρχὴ τοῦ λόγου ἐστὶ κατὰ τὴν Εὐριπίδου Μελανίππην· οὐ γὰρ ἐμὸς ὁ μῦθος ἀλλὰ Φαίδρου τοῦδε. Cf. also Alc. I. 113 e. The verse in the Melanippe was οὐκ ἐμὸς ὁ μῦθος ἀλλ' ἐμῆς μητρὸς πάρα. So Eur. Hel. 513, λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δ' ἔπος.

p. 20. λόγον, ὃν ἂν λέγω, ἀλλ' εἰς ἀξιόχρεων ὑμῖν τὸν λέγοντα ἀνοίσω. τῆς γὰρ ἐμῆς, εἰ δή τίς ἐστι σοφία καὶ οἵα, μάρτυρα ὑμῖν παρέξομαι τὸν θεὸν τὸν ἐν
p. 21. Δελφοῖς. Χαιρεφῶντα γὰρ ἴστε που. οὗτος ἐμός τε ἑταῖρος ἦν ἐκ νέου, καὶ ὑμῶν τῷ πλήθει ἑταῖρός τε καὶ ξυνέφυγε τὴν φυγὴν ταύτην καὶ μεθ' ὑμῶν κατῆλθε. καὶ ἴστε δὴ οἷος ἦν Χαιρεφῶν, ὡς σφοδρὸς ἐφ' ὅ τι ὁρμήσειε. καὶ δή ποτε καὶ εἰς Δελφοὺς ἐλθὼν ἐτόλμησε τοῦτο μαντεύσασθαι· καί, ὅπερ λέγω, μὴ θορυβεῖτε, ὦ ἄνδρες· ἤρετο γὰρ δή, εἴ τις ἐμοῦ εἴη σοφώτερος. ἀνεῖλεν οὖν ἡ Πυθία μηδένα

(attested by the enigmatical response from Delphi),

3. *μάρτυρα—Δελφοῖς*] "There is no need (says Zeller, Phil. der Griechen II. p. 45. note 2), to deny the authenticity of the oracle, but we cannot regard it as having given the primary impulse to Socrates' tour of enquiry. Socrates must have been already a known personage for Chærephon to have put his question to the Pythia, or for her to have taken it up." It is therefore semi-rhetorically that the oracle is here represented as the cause of Socrates' eccentric and unpopular proceeding. The Iambic form,—*σοφὸς Σοφοκλῆς* &c.—in which the response appears in Diog. II. 37, and Suid. *σοφός*, is a later invention—an expansion of the Pythia's simple negative recited here.

6. *καὶ ὑμῶν—κατῆλθε*] This allusion to Chærephon's antecedents is added not without purpose,—to dispose the court to hear more indulgently the story which is to follow.

In detail:—The full point of the phrase *πλήθει ἑταῖρος* is to be found in the contrast of the adherents of the Thirty; more especially the *ἑταῖροι* of the oligarchical clubs, and the body of 3000 hoplites organised by the Thirty from their partisans. *φυγὴν* refers to the subsequent expulsion of all not included in the 3000 from Athens, and their withdrawal presently after (when they found no safety in Attica) to Thebes, Megara, Oropus, Chalcis, Argos, &c. This flight, as an event still vividly remembered, is called *ταύτην*, 'the recent.' So Isocr. matches it with the old troubles under the Pisistratidæ;—*τὴν δημοκρατίαν . . . δὶς ἤδη καταλυθεῖσαν, καὶ τὰς φυγὰς τὰς ἐπὶ τῶν τυράννων καὶ τὰς ἐπὶ τῶν τριάκοντα γενομένας*, viii. 123. p. 184. With *κατῆλθε* cf. Lysias, x. 4. p. 116, *ἐξ ὅτου ὑμεῖς κατεληλύθατε*· it is the recognised description of the restoration of democracy and end of the eight months' reign of the Thirty, signalised by the solemn return of Thrasybulus and the exiles from Piræus to Athens.

σοφώτερον εἶναι. καὶ τούτων πέρι ὁ ἀδελφὸς ὑμῖν p. 21.
αὐτοῦ οὑτοσὶ μαρτυρήσει, ἐπειδὴ ἐκεῖνος τετελεύτηκεν.

and the course of experiments by which he had confirmed that conviction;

VI. Σκέψασθε δὲ ὧν ἕνεκα ταῦτα λέγω· μέλλω b
γὰρ ὑμᾶς διδάξειν, ὅθεν μοι ἡ διαβολὴ γέγονε. ταῦτα
γὰρ ἐγὼ ἀκούσας ἐνεθυμούμην οὑτωσί· τί ποτε λέγει
ὁ θεός, καὶ τί ποτε αἰνίττεται; ἐγὼ γὰρ δὴ οὔτε
μέγα οὔτε σμικρὸν ξύνοιδα ἐμαυτῷ σοφὸς ὤν· τί οὖν
ποτὲ λέγει φάσκων ἐμὲ σοφώτατον εἶναι; οὐ γὰρ
δήπου ψεύδεταί γε· οὐ γὰρ θέμις αὐτῷ· καὶ πολὺν
μὲν χρόνον ἠπόρουν, τί ποτε λέγει, ἔπειτα μόγις
πάνυ ἐπὶ ζήτησιν αὐτοῦ τοιαύτην τινὰ ἐτραπόμην.
ἦλθον ἐπί τινα τῶν δοκούντων σοφῶν εἶναι, ὡς c
ἐνταῦθα, εἴ πέρ που, ἐλέγξων τὸ μαντεῖον καὶ ἀπο-
φανῶν τῷ χρησμῷ ὅτι οὑτοσὶ ἐμοῦ σοφώτερός ἐστι,
σὺ δ' ἐμὲ ἔφησθα. διασκοπῶν οὖν τοῦτον—ὀνόματι
γὰρ οὐδὲν δέομαι λέγειν, ἦν δέ τις τῶν πολιτικῶν,
πρὸς ὃν ἐγὼ σκοπῶν τοιοῦτόν τι ἔπαθον, ὦ ἄνδρες
Ἀθηναῖοι—καὶ διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι οὗτος
ὁ ἀνὴρ δοκεῖν μὲν εἶναι σοφὸς ἄλλοις τε πολλοῖς

1. ἀδελφὸς] Chærecrates: Xen. Mem. II. iii. 1.

2. μαρτυρήσει] The μαρτυρία is to be supposed to follow at once. Introd. p. x.

10. οὐ γὰρ θέμις αὐτῷ] Cf. Pind. Pyth. ix. 42, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν.

17. τῶν πολιτικῶν] In itself this word means no more than 'statesman,' in the sense in which it might have been applied to Pericles, and is applied, Legg. 693 a, to the old lawgivers and settlers of Hellas. But an Athenian of Plato's time speaking of Athens would mean by πολιτικοὶ that class of men who made public business a profession,—τοὺς πολιτικοὺς λεγομένους (Politic. 303 e). As distinguished from the ῥήτορες, they were men who sought appointments to public offices, while the ῥήτορες were professional speakers in the Ecclesia. Cf. 23 e, and see Introd. p. ii. note 1.

19. διαλεγόμενος αὐτῷ, ἔδοξέ μοι] This inversion of government is of common occurrence among the forms of changed construction: Dig. 271. ἔδοξε is 'I came to think,' as 32 b.

p. 21. ἀνθρώποις καὶ μάλιστα ἑαυτῷ, εἶναι δ' οὔ· κἄπειτα
d ἐπειρώμην αὐτῷ δεικνύναι, ὅτι οἴοιτο μὲν εἶναι σοφός,
εἴη δ' οὔ. ἐντεῦθεν οὖν τούτῳ τε ἀπηχθόμην καὶ πολ-
λοῖς τῶν παρόντων, πρὸς ἐμαυτὸν δ' οὖν ἀπιὼν ἐλο-
γιζόμην ὅτι τούτου μὲν τοῦ ἀνθρώπου ἐγὼ σοφώ- 5
τερός εἰμι· κινδυνεύει μὲν γὰρ ἡμῶν οὐδέτερος οὐδὲν
καλὸν κἀγαθὸν εἰδέναι, ἀλλ' οὗτος μὲν οἴεταί τι εἰδέ-
ναι οὐκ εἰδώς, ἐγὼ δέ, ὥσπερ οὖν οὐκ οἶδα, οὐδὲ
οἴομαι· ἔοικα γοῦν τούτου γε σμικρῷ τινι αὐτῷ
τούτῳ σοφώτερος εἶναι, ὅτι ἃ μὴ οἶδα οὐδὲ οἴομαι 10
εἰδέναι. ἐντεῦθεν ἐπ' ἄλλον ἦα τῶν ἐκείνου δο-
e κούντων σοφωτέρων εἶναι, καί μοι ταὐτὰ ταῦτα
ἔδοξε· καὶ ἐνταῦθα κἀκείνῳ καὶ ἄλλοις πολλοῖς
ἀπηχθόμην.

VII. Μετὰ ταῦτ' οὖν ἤδη ἐφεξῆς ἦα, αἰσθανόμε- 15
νος μὲν καὶ λυπούμενος καὶ δεδιὼς ὅτι ἀπηχθανόμην,
ὅμως δὲ ἀναγκαῖον ἐδόκει εἶναι τὸ τοῦ θεοῦ περὶ
πλείστου ποιεῖσθαι· ἰτέον οὖν σκοποῦντι τὸν χρησ-
μόν, τί λέγει, ἐπὶ ἅπαντας τούς τι δοκοῦντας εἰδέναι.
p. 22. καὶ νὴ τὸν κύνα, ὦ ἄνδρες Ἀθηναῖοι· δεῖ γὰρ πρὸς 20
ὑμᾶς τἀληθῆ λέγειν· ἦ μὴν ἐγὼ ἔπαθόν τι τοιοῦτον·
οἱ μὲν μάλιστα εὐδοκιμοῦντες ἔδοξάν μοι ὀλίγου δεῖν
τοῦ πλείστου ἐνδεεῖς εἶναι ζητοῦντι κατὰ τὸν θεόν,
ἄλλοι δὲ δοκοῦντες φαυλότεροι ἐπιεικέστεροι εἶναι
ἄνδρες πρὸς τὸ φρονίμως ἔχειν. δεῖ δὴ ὑμῖν τὴν 25
ἐμὴν πλάνην ἐπιδεῖξαι ὥσπερ πόνους τινὰς πονοῦν-

20. *νὴ τὸν κύνα*] What was meant by this oath is clear from Gorg. 482 b, *μὰ τὸν κύνα τὸν Αἰγυπτίων θεόν*,—that is, the dog-headed or, more correctly, jackal-headed Anubis. In Plato this oath is only found in the mouth of Socrates. In Aristoph. Vesp. 83, a slave, Sosias, uses the same oath.

23. *τοῦ πλείστου ἐνδεεῖς*] Cf. Euthyd. 292 e, *τοῦ ἴσου ἡμῖν ἐνδεῖ ἢ ἔτι πλείονος.*

τος, ἵνα μοι καὶ ἀνέλεγκτος ἡ μαντεία γένοιτο. μετὰ p. 22.
γὰρ τοὺς πολιτικοὺς ἦα ἐπὶ τοὺς ποιητὰς τούς τε
τῶν τραγῳδιῶν καὶ τοὺς τῶν διθυράμβων καὶ τοὺς b
ἄλλους, ὡς ἐνταῦθα ἐπ' αὐτοφώρῳ καταληψόμενος
ἐμαυτὸν ἀμαθέστερον ἐκείνων ὄντα. ἀναλαμβάνων
οὖν αὐτῶν τὰ ποιήματα, ἃ μοι ἐδόκει μάλιστα πε-
πραγματεῦσθαι αὐτοῖς, διηρώτων ἂν αὐτοὺς τί λέ-
γοιεν, ἵν' ἅμα τι καὶ μανθάνοιμι παρ' αὐτῶν. αἰσχύ-
νομαι οὖν ὑμῖν εἰπεῖν, ὦ ἄνδρες, τἀληθῆ· ὅμως δὲ
ῥητέον. ὡς ἔπος γὰρ εἰπεῖν ὀλίγου αὐτῶν ἅπαντες
οἱ παρόντες ἂν βέλτιον ἔλεγον περὶ ὧν αὐτοὶ ἐπεποι-
ήκεσαν. ἔγνων οὖν καὶ περὶ τῶν ποιητῶν ἐν ὀλίγῳ

1. καὶ ἀνέλεγκτος] H's conjecture κἂν ἐλεγκτὸς (1) is mere conjecture; (2) would not give the sense he wishes, since ἐλεγκτὸς is not 'contradicted' but 'admitting contradiction;' and (3) if it did, would spoil the general meaning, since Socrates' leading principle throughout is that the oracle must be *true*, and that the proof of this would come out simultaneously with the true sense. 12. ἐν ὀλίγῳ] H's conjecture ἑνὶ λόγῳ is needless. For ἐν ὀλίγῳ means the same, viz. 'in short,' not 'in a short time;' just like ἐν βραχεῖ, Symp. 217 a, ἐν ἐλαχίστῳ, Isocr. i. 40. p. 11. Of course ἑνὶ λόγῳ occurs also, e. g. Lysias, xiii. 38. p. 133; and H might have argued something from the variation of reading between κατ' ὀλίγον and κατὰ λόγον, Thuc. vi. 34. med.

1. ἵνα μοι — γένοιτο] 'With the object of finding positively unimpeachable proof of the divine declaration.' A double meaning is wrapped up in μοι, —it is both 'by my agency' and 'for my satisfaction.' καὶ signifies the superaddition of demonstration, which all the world must accept, to the certainty which had been in Socrates an exercise of faith. μαντεία signifies (1) the process by which oracles are obtained, or (2), as here, and 29 a, the fact oracularly communicated. This signification still remains distinct from that of μαντεῖον, which was the *form of words* in which the oracle was given; μαντεία is the *meaning* of the μαντεῖον· a distinction to feel which we have only to remember that to get at the meaning from the words was in the case of oracles a process involving exactly that degree of difficulty which suited the god or his prophet.

11. οἱ παρόντες] With Stallb. and against Wolf, we must take this to mean 'those present at each several time,' and not 'the present audience.'

p. 22. τοῦτο, ὅτι οὐ σοφίᾳ ποιοῖεν ἃ ποιοῖεν, ἀλλὰ φύσει
c τινὶ καὶ ἐνθουσιάζοντες, ὥσπερ οἱ θεομάντεις καὶ οἱ
χρησμῳδοί· καὶ γὰρ οὗτοι λέγουσι μὲν πολλὰ καὶ
καλά, ἴσασι δὲ οὐδὲν ὧν λέγουσι. τοιοῦτόν τί μοι
ἐφάνησαν πάθος καὶ οἱ ποιηταὶ πεπονθότες· καὶ ἅμα
ἠσθόμην αὐτῶν διὰ τὴν ποίησιν οἰομένων καὶ τἆλλα
σοφωτάτων εἶναι ἀνθρώπων, ἃ οὐκ ἦσαν. ἀπῄα οὖν
καὶ ἐντεῦθεν τῷ αὐτῷ οἰόμενος περιγεγονέναι, ᾧπερ
καὶ τῶν πολιτικῶν.

VIII. Τελευτῶν οὖν ἐπὶ τοὺς χειροτέχνας ᾖα·
d ἐμαυτῷ γὰρ ξυνῄδειν οὐδὲν ἐπισταμένῳ, ὡς ἔπος
εἰπεῖν, τούτους δέ γ' ᾔδειν ὅτι εὑρήσοιμι πολλὰ καὶ
καλὰ ἐπισταμένους. καὶ τούτου μὲν οὐκ ἐψεύσθην,
ἀλλ' ἠπίσταντο ἃ ἐγὼ οὐκ ἠπιστάμην καί μου ταύτῃ
σοφώτεροι ἦσαν. ἀλλ', ὦ ἄνδρες Ἀθηναῖοι, ταὐτόν
μοι ἔδοξαν ἔχειν ἁμάρτημα, ὅπερ καὶ οἱ ποιηταί, καὶ
οἱ ἀγαθοὶ δημιουργοί· διὰ τὸ τὴν τέχνην καλῶς ἐξερ-
γάζεσθαι ἕκαστος ἠξίου καὶ τἆλλα τὰ μέγιστα σο-
φώτατος εἶναι, καὶ αὐτῶν αὖτη ἡ πλημμέλεια ἐκείνην
e τὴν σοφίαν ἀποκρύπτειν· ὥστ' ἐμὲ ἐμαυτὸν ἀνερω-

20. ἀποκρύπτειν] This is the reading of one MS. Φ. The dominant reading of the MSS. (including Oxon.) is ἀποκρύπτει. The editors have espoused ἀπέκρυπτεν· but such a text would not account for such a variant as ἀποκρύπτει in the best MSS. Ἀποκρύπτει itself is scarcely possible (on the principle of πεπραγ-

The usage of the orators proves this; cf. Antipho ii. A. *a*. 9. p. 116, and (esp.) *γ*. 5. p. 118, οὐδεὶς γὰρ ὅστις τῶν παρόντων οὐκ ἂν ὀκνηρότερος . . . . ἦν. Lysias uses in the same meaning, but without the same possibility of question, οἱ παραγενόμενοι. The expressions used, whether for the audience or for the court, are different; e. g. Antipho vi. 14. p. 143, πολλοὶ τῶν περιεστώτων τούτων ταῦτα πάντα ἀκριβῶς ἐπίστανται, Andoc. i. 139. p. 18, οὐδ' ὑμῶν τῶν καθημένων οὐδεὶς ἂν ἐπιτρέψειε.

16. ἔδοξαν] The nom. is καὶ οἱ ἀγαθοὶ δημουργοί. The force of the aor. is, as in 21 c, ἔδοξε, 'I came to see.'

18. τὰ μέγιστα] Politics are especially meant.

τᾶν ὑπὲρ τοῦ χρησμοῦ, πότερα δεξαίμην ἂν οὕτως p. 22.
ὥσπερ ἔχω ἔχειν, μήτε τι σοφὸς ὢν τὴν ἐκείνων
σοφίαν μήτε ἀμαθὴς τὴν ἀμαθίαν, ἢ ἀμφότερα ἃ
ἐκεῖνοι ἔχουσιν ἔχειν. ἀπεκρινάμην οὖν ἐμαυτῷ καὶ
τῷ χρησμῷ, ὅτι μοι λυσιτελοῖ ὥσπερ ἔχω ἔχειν.

which experiments further supplied the key to the intensity of the prejudice against Socrates individually, in the personal enmities which they had excited;

IX. Ἐκ ταυτησὶ δὴ τῆς ἐξετάσεως, ὦ ἄνδρες
Ἀθηναῖοι, πολλαὶ μὲν ἀπέχθειαί μοι γεγόνασι καὶ p. 23.
οἷαι χαλεπώταται καὶ βαρύταται, ὥστε πολλὰς δια-
βολὰς ἀπ' αὐτῶν γεγονέναι, ὄνομα δὲ τοῦτο λέγεσθαι,
σοφὸς εἶναι. οἴονται γάρ με ἑκάστοτε οἱ παρόντες
ταῦτα αὐτὸν εἶναι σοφόν, ἃ ἂν ἄλλον ἐξελέγξω· τὸ
δὲ κινδυνεύει, ὦ ἄνδρες, τῷ ὄντι ὁ θεὸς σοφὸς εἶναι,
καὶ ἐν τῷ χρησμῷ τούτῳ τοῦτο λέγειν, ὅτι ἡ ἀνθρω-
πίνη σοφία ὀλίγου τινὸς ἀξία ἐστὶ καὶ οὐδενός· καὶ
φαίνεται τοὔτ' οὐ λέγειν τὸν Σωκράτη, προσκεχρῆσθαι
δὲ τῷ ἐμῷ ὀνόματι, ἐμὲ παράδειγμα ποιούμενος, ὥσπερ b
ἂν εἰ εἶποι ὅτι οὗτος ὑμῶν, ὦ ἄνθρωποι, σοφώτατός
ἐστιν, ὅστις ὥσπερ Σωκράτης ἔγνωκεν ὅτι οὐδενὸς
ἄξιός ἐστι τῇ ἀληθείᾳ πρὸς σοφίαν. ταῦτ' οὖν ἐγὼ

μάτευμαι, ἀπείρηκα, Phædo 99 d, ὁρῶ ib. 98 b); but points to ἀποκρύπτειν, which is to be governed by ἔδοξε understood from ἔδοξαν· which gives also the best sense.

6. ταυτησὶ] The -ι is not always strictly δεικτικόν. Lob. Path. Pars II. p. 230, "Sæpe Oratores, etiamsi de absentibus loquuntur, quos modo designarunt et auditoribus quasi spectandos proponunt, iota demonstrativo utuntur, et sæpius etiam negligunt, si de præsentibus." Cf. τουτὶ, 37 e. ἐξετάσεως] We cannot follow Oxon. and 3 other MSS. in reading ἔξεως, which is the result of an old contraction misread. 15. τοῦτ' οὐ] This conjecture of F. A. Wolf we must needs adopt for τοῦτον of the MSS.

9. ὄνομα δὲ—εἶναι] Lit. 'and I am called by this name, that I am wise.' The subject of λέγεσθαι is [ἐμὲ], not ὄνομα. And σοφὸς εἶναι is by attraction for [τὸ] εἶναί με σοφόν.

11. τὸ δὲ] Accus. of pronoun neuter, standing for the whole sentence immediately following: Dig. 19.

14. καὶ οὐδενός· 'or nothing:' the καὶ is disjunctive.

p. 23. μὲν ἔτι καὶ νῦν περιὼν ζητῶ καὶ ἐρευνῶ κατὰ τὸν θεόν, καὶ τῶν ἀστῶν καὶ ξένων ἄν τινα οἴωμαι σοφὸν εἶναι· καὶ ἐπειδάν μοι μὴ δοκῇ, τῷ θεῷ βοηθῶν ἐνδείκνυμαι ὅτι οὐκ ἔστι σοφός. καὶ ὑπὸ ταύτης τῆς ἀσχολίας οὔτε τι τῶν τῆς πόλεως πρᾶξαί μοι σχολὴ γέγονεν ἄξιον λόγου οὔτε τῶν οἰκείων, ἀλλ' ἐν πενίᾳ μυρίᾳ εἰμὶ διὰ τὴν τοῦ θεοῦ λατρείαν.

c X. Πρὸς δὲ τούτοις οἱ νέοι μοι ἑπακολουθοῦντες, οἷς μάλιστα σχολή ἐστιν, οἱ τῶν πλουσιωτάτων, αὐτόματοι χαίρουσιν ἀκούοντες ἐξεταζομένων τῶν ἀνθρώπων, καὶ αὐτοὶ πολλάκις ἐμὲ μιμοῦνται· εἶτ' ἐπιχειροῦσιν ἄλλους ἐξετάζειν· κἄπειτα, οἶμαι, εὑρίσκουσι πολλὴν ἀφθονίαν οἰομένων μὲν εἰδέναι τι ἀνθρώπων, εἰδότων δὲ ὀλίγα ἢ οὐδέν. ἐντεῦθεν οὖν οἱ ὑπ' αὐτῶν ἐξεταζόμενοι ἐμοὶ ὀργίζονται, ἀλλ' οὐχ αὑτοῖς, καὶ λέγουσιν ὡς Σωκράτης τίς ἐστι μιαρώ-
d τατος καὶ διαφθείρει τοὺς νέους· καὶ ἐπειδάν τις

and moreover gave a pretext for fastening on Socrates individually the imputation (previously only a class-imputation) of perverting the youth;

1. *μὲν ἔτι*] Oxon. gives *μὲν ἔχω ἔτι*, but in the hand of a restorer, and not on the traces of the old letters. (Gaisf. wrongly represents *ἔχων* as the reading. *ἔχων* would be redundant, like *ἔχων φλυαρεῖς*, &c.) 2. *καὶ ξένων*] So Oxon. and 3 other MSS. Edd. *καὶ τῶν ξένων*. But the variation is in the spirit of Plato: cf. Dig. 237, and add Phædo 85 a, *αὐτὴ ἥ τε ἀηδὼν καὶ χελιδὼν καὶ ὁ ἔποψ*. 11. *μιμοῦνται*] So Oxon. &c. *μιμούμενοι* is a conjecture of Hermann.

4. *ὑπὸ ταύτης*] Later, 31 c, he gives a second reason for abstaining from public life.

6. *ἐν πενίᾳ μυρίᾳ*] Cf. Legg. 677 c, the beautiful expression *μυρίαν τινὰ φοβερὰν ἐρημίαν*, Rep. 520 c, *μυρίῳ βελτίων*.

For the fact, with respect to Socrates, cf. with Stallbaum Xen. Œcon. ii. 3.

11. *καὶ αὐτοὶ—ἐξετάζειν*] Forster compares Rep. 539 b, *οἱ μειρακίσκοι, ὅταν τὸ πρῶτον λόγων γεύωνται, ὡς παιδιᾷ αὐτοῖς κατα-χρῶνται, ἀεὶ εἰς ἀντιλογίαν χρώμενοι, καὶ μιμούμενοι τοὺς ἐξελέγχοντας αὐτοὶ ἄλλους ἐλέγχουσι . . . . καὶ ἐκ τούτων δὴ αὐτοί τε καὶ τὸ ὅλον φιλοσοφίας πέρι εἰς τοὺς ἄλλους διαβέβληνται.*

ἐμὲ μιμοῦνται] By practising upon each other.

αὐτοὺς ἐρωτᾷ, ὅ τι ποιῶν καὶ ὅ τι διδάσκων, ἔχουσι p. 23.
μὲν οὐδὲν εἰπεῖν, ἀλλ' ἀγνοοῦσιν, ἵνα δὲ μὴ δοκῶσιν
ἀπορεῖν, τὰ κατὰ πάντων τῶν φιλοσοφούντων πρό-
χειρα ταῦτα λέγουσιν, ὅτι τὰ μετέωρα καὶ τὰ ὑπὸ
γῆς, καὶ θεοὺς μὴ νομίζειν, καὶ τὸν ἥττω λόγον
κρείττω ποιεῖν. τὰ γὰρ ἀληθῆ, οἶμαι, οὐκ ἂν ἐθέ-
λοιεν λέγειν, ὅτι κατάδηλοι γίγνονται προσποιού-
μενοι μὲν εἰδέναι, εἰδότες δὲ οὐδέν. ἅτε οὖν, οἶμαι,
φιλότιμοι ὄντες καὶ σφοδροὶ καὶ πολλοί, καὶ ξυντε-
ταγμένως καὶ πιθανῶς λέγοντες περὶ ἐμοῦ, ἐμπεπλή- e
κασιν ὑμῶν τὰ ὦτα καὶ πάλαι καὶ σφοδρῶς δια-
and lastly, in combination
βάλλοντες. ἐκ τούτων καὶ Μέλητός μοι ἐπέθετο καὶ

9. ξυντεταγμένως] So BSZ. H with two MSS. ξυντεταμένως. But ξυντεταγμ. means 'in set array:' cf. Æschin. ii. 74. p. 37, οἱ ξυντεταγμένοι ῥήτορες.

4. ταῦτα] Latin ista; idiomatically expressive of contempt, Dig. 318.

ὅτι τὰ μετέωρα] Understand ζητῶ or the like, by comparison of 19 b.

12. ἐκ τούτων] 'It is upon this footing'—namely that of an old general prejudice, aggravated by supervening personal animosity,—'that I am now attacked by' &c. The meaning 'in consequence of' would be too strong, both for the sense here, and for the idiomatic use of the phrase; cf. Dig. 116: the meaning 'upon the strength of' would also exceed the warrant of the Greek, though not of the sense, cf. 19 a, ᾗ δὴ καὶ πιστεύων Μέλητος κ.τ.λ.

καὶ Μέλητος — ῥητόρων] For an account of Socrates' three accusers and their motives, and of the classes of persons called here πολιτικοὶ and ῥήτορες, see Introd. p. ii. note 1.

The δημιουργοὶ are here joined with the πολιτικοί, because Anytus represented a trade himself, and herein was but one of many instances of the same conjunction of pursuits in those times at Athens. Socrates was wont to speak slightingly of mechanical arts (Xen. Œcon. iv. 3), —a view which would seem to connect itself with his praise of σχολή (Diog. ii. 31, Æl. Var. x. 14): and a conversation, in which he pressed an uncommercial view of education upon Anytus himself with reference to his son, seems to have been among the causes of Anytus' personal hatred of Socrates. (See again Introd. p. iv.)

p. 23. Ἄνυτος καὶ Λύκων, Μέλητος μὲν ὑπὲρ τῶν ποιητῶν ἀχθόμενος, Ἄνυτος δὲ ὑπὲρ τῶν δημιουργῶν καὶ
p. 24. τῶν πολιτικῶν, Λύκων δὲ ὑπὲρ τῶν ῥητόρων· ὥστε, ὅπερ ἀρχόμενος ἐγὼ ἔλεγον, θαυμάζοιμ' ἂν εἰ οἷός τ' εἴην ἐγὼ ὑμῶν ταύτην τὴν διαβολὴν ἐξελέσθαι ἐν οὕτως ὀλίγῳ χρόνῳ οὕτω πολλὴν γεγονυῖαν. ταῦτ' ἔστιν ὑμῖν, ὦ ἄνδρες Ἀθηναῖοι, τἀληθῆ, καὶ ὑμᾶς οὔτε μέγα οὔτε σμικρὸν ἀποκρυψάμενος ἐγὼ λέγω οὐδ' ὑποστειλάμενος. καί τοι οἶδα σχεδὸν ὅτι τοῖς
b αὐτοῖς ἀπεχθάνομαι· ὃ καὶ τεκμήριον ὅτι ἀληθῆ λέγω καὶ ὅτι αὕτη ἐστὶν ἡ διαβολὴ ἡ ἐμὴ καὶ τὰ αἴτια ταῦτά ἐστι. καὶ ἐάν τε νῦν ἐάν τε αὖθις ζητήσητε ταῦτα, οὕτως εὑρήσετε.

with the old general prejudice, had inspired the present prosecution.

XI. Περὶ μὲν οὖν ὧν οἱ πρῶτοί μου κατήγοροι κατηγόρουν αὕτη ἔστω ἱκανὴ ἀπολογία πρὸς ὑμᾶς· πρὸς δὲ Μέλητον τὸν ἀγαθόν τε καὶ φιλόπολιν, ὥς φησι, καὶ τοὺς ὑστέρους μετὰ ταῦτα πειράσομαι ἀπολογεῖσθαι. αὖθις γὰρ δή, ὥσπερ ἑτέρων τούτων ὄντων κατηγόρων, λάβωμεν αὖ τὴν τούτων ἀντωμοσίαν. ἔχει δέ πως ὧδε· Σωκράτη φησὶν ἀδικεῖν τούς
c τε νέους διαφθείροντα καὶ θεοὺς οὓς ἡ πόλις νομίζει οὐ νομίζοντα, ἕτερα δὲ δαιμόνια καινά. τὸ μὲν δὴ ἔγκλημα τοιοῦτόν ἐστι· τούτου δὲ τοῦ ἐγκλήματος

Second part of Defence;—Justification of himself as against the counts of the indictment, separately;—

1. ὑπὲρ] We are to understand, not that the accusers were acting on behalf of their respective classes, but merely that they were to be regarded as representatives of the feelings of those bodies.

9. τοῖς αὐτοῖς] Lit. 'through the same things:' that is, in stating the facts I am virtually reiterating and attesting the charges.

11. ἡ διαβολὴ ἡ ἐμὴ] Emphasis is of course on διαβολή. 'This is,'—i. e. 'in this consists — the prejudice against me.'

16. ἀγαθόν] 'Public benefactor.'

20. ἔχει δέ πως ὧδε] See Introd. p. vi.

a. Perversion of the youth.

ἓν ἕκαστον ἐξετάσωμεν. φησὶ γὰρ δὴ τοὺς νέους p. 24.
ἀδικεῖν με διαφθείροντα. ἐγὼ δέ, ὦ ἄνδρες Ἀθηναῖοι,
ἀδικεῖν φημὶ Μέλητον, ὅτι σπουδῇ χαριεντίζεται,
ῥᾳδίως εἰς ἀγῶνας καθιστὰς ἀνθρώπους, περὶ πραγ-
μάτων προσποιούμενος σπουδάζειν καὶ κήδεσθαι, ὧν
οὐδὲν τούτῳ πώποτε ἐμέλησεν. ὡς δὲ τοῦτο οὕτως
ἔχει, πειράσομαι καὶ ὑμῖν ἐπιδεῖξαι.

Two answers (both dialectical); 1. the hypocrisy of the charge;

XII. Καί μοι δεῦρο, ὦ Μέλητε, εἰπέ· ἄλλο τι d
ἢ περὶ πολλοῦ ποιεῖ, ὅπως ὡς βέλτιστοι οἱ νεώτεροι
ἔσονται; Ἔγωγε. Ἴθι δὴ νῦν εἰπὲ τούτοις, τίς αὐ-
τοὺς βελτίους ποιεῖ; δῆλον γὰρ ὅτι οἶσθα, μέλον γέ
σοι. τὸν μὲν γὰρ διαφθείροντα ἐξευρών, ὡς φῄς,
ἐμὲ εἰσάγεις τουτοισὶ καὶ κατηγορεῖς· τὸν δὲ δὴ βελ-
τίους ποιοῦντα ἴθι εἰπὲ καὶ μήνυσον αὐτοῖς, τίς ἐστιν.
ὁρᾷς, ὦ Μέλητε, ὅτι σιγᾷς καὶ οὐκ ἔχεις εἰπεῖν; καί
τοι οὐκ αἰσχρόν σοι δοκεῖ εἶναι καὶ ἱκανὸν τεκμήριον
οὗ δὴ ἐγὼ λέγω, ὅτι σοι οὐδὲν μεμέληκεν; ἀλλ' εἰπέ, e
ὦ ἀγαθέ, τίς αὐτοὺς ἀμείνους ποιεῖ; Οἱ νόμοι. Ἀλλ'
οὐ τοῦτο ἐρωτῶ, ὦ βέλτιστε, ἀλλὰ τίς ἄνθρωπος,
ὅστις πρῶτον καὶ αὐτὸ τοῦτο οἶδε, τοὺς νόμους.
Οὗτοι, ὦ Σώκρατες, οἱ δικασταί. Πῶς λέγεις, ὦ

3. *σπουδῇ χαριεντίζεται*] Oxymoron: 'is playing off a jest under solemn forms.' The machinery of the law, with all its solemnity of circumstance and all its serious consequences, is set in motion by him for his mere amusement. Cf. *χαριεντιζόμενος* in the same sense 27 a, where it is explained by *παίζοντος*.

8. Καί *μοι κ.τ.λ.*] The examination of Meletus by Socrates, which now follows, though it naturally affords scope for exhibiting Socrates' characteristic talent, is legally speaking the customary *ἐρώτησις*, to which either party was bound to submit at the requisition of the other. Introd. p. x.

18. *ἀμείνους*] 'Better citizens,'—better toward others: whereas *βελτίους* above means, strictly speaking, better in themselves.

p. 24. Μέλητε; οἵδε τοὺς νέους παιδεύειν οἷοί τέ εἰσι καὶ βελτίους ποιοῦσι; Μάλιστα. Πότερον ἅπαντες, ἢ οἱ μὲν αὐτῶν, οἱ δ' οὔ; Ἅπαντες. Εὖ γε νὴ τὴν Ἥραν λέγεις, καὶ πολλὴν ἀφθονίαν τῶν ὠφελούν-
p. 25. των. τί δὲ δή; οἵδε οἱ ἀκροαταὶ βελτίους ποιοῦσιν, ἢ οὔ; Καὶ οὗτοι. Τί δὲ οἱ βουλευταί; Καὶ οἱ βουλευταί. Ἀλλ' ἆρα, ὦ Μέλητε, μὴ οἱ ἐν τῇ ἐκκλησίᾳ, οἱ ἐκκλησιασταί, διαφθείρουσι τοὺς νεωτέρους; ἢ κἀκεῖνοι βελτίους ποιοῦσιν ἅπαντες; Κἀκεῖνοι. Πάντες ἄρα, ὡς ἔοικεν, Ἀθηναῖοι καλοὺς κἀγαθοὺς ποιοῦσι πλὴν ἐμοῦ, ἐγὼ δὲ μόνος διαφθείρω. οὕτω λέγεις; Πάνυ σφόδρα ταῦτα λέγω. Πολλήν γ' ἐμοῦ κατέγνωκας δυστυχίαν. καί μοι ἀπόκριναι· ἦ καὶ περὶ
b ἵππους οὕτω σοι δοκεῖ ἔχειν· οἱ μὲν βελτίους ποιοῦντες αὐτοὺς πάντες ἄνθρωποι εἶναι, εἷς δέ τις ὁ διαφθείρων; ἢ τοὐναντίον τούτου πᾶν εἷς μέν τις ὁ βελτίους οἷός τ' ὢν ποιεῖν ἢ πάνυ ὀλίγοι, οἱ ἱππικοί· οἱ δὲ πολλοὶ ἐάνπερ ξυνῶσι καὶ χρῶνται ἵπποις, διαφθείρουσιν; οὐχ οὕτως ἔχει, ὦ Μέλητε, καὶ περὶ ἵππων καὶ τῶν ἄλλων ἁπάντων ζώων; πάντως δή-
20 που, ἐάν τε σὺ καὶ Ἄνυτος οὐ φῆτε ἐάν τε φῆτε· πολλὴ γὰρ ἂν τις εὐδαιμονία εἴη περὶ τοὺς νέους, εἰ εἷς μὲν μόνος αὐτοὺς διαφθείρει, οἱ δ' ἄλλοι ὠφε-
c λοῦσιν. ἀλλὰ γάρ, ὦ Μέλητε, ἱκανῶς ἐπιδείκνυσαι ὅτι οὐδεπώποτε ἐφρόντισας τῶν νέων, καὶ σαφῶς ἀποφαίνεις τὴν σαυτοῦ ἀμέλειαν, ὅτι οὐδέν σοι μεμέληκε περὶ ὧν ἐμὲ εἰσάγεις.

24. ἀλλὰ γάρ] 'But the truth is;' as above 19 c, &c. Dig. 147.

26. ἀποφαίνεις—ἀμέλειαν] Between ἀμέλειαν and Μέλητε a play upon words is doubtless intended; see several instances in Plato collected Dig. 324. In this case the probability is strengthened by the constant

2. the stupidity of it.

XIII. Ἔτι δὲ ἡμῖν εἰπὲ ὦ πρὸς Διὸς Μέλητε, p. 25.
πότερον ἔστιν οἰκεῖν ἄμεινον ἐν πολίταις χρηστοῖς ἢ
πονηροῖς; ὦ τᾶν, ἀπόκριναι· οὐδὲν γάρ τοι χαλεπὸν
ἐρωτῶ. οὐχ οἱ μὲν πονηροὶ κακόν τι ἐργάζονται τοὺς
ἀεὶ ἐγγυτάτω ἑαυτῶν ὄντας, οἱ δ' ἀγαθοὶ ἀγαθόν τι;
Πάνυ γε. Ἔστιν οὖν ὅστις βούλεται ὑπὸ τῶν ξυ-
νόντων βλάπτεσθαι μᾶλλον ἢ ὠφελεῖσθαι; ἀπόκρι- d
ναι, ὦ γαθέ· καὶ γὰρ ὁ νόμος κελεύει ἀποκρίνεσθαι.
ἔσθ' ὅστις βούλεται βλάπτεσθαι; Οὐ δῆτα. Φέρε
δή, πότερον ἐμὲ εἰσάγεις δεῦρο ὡς διαφθείροντα τοὺς
νεωτέρους καὶ πονηροτέρους ποιοῦντα ἑκόντα ἢ ἄκοντα;
Ἑκόντα ἔγωγε. Τί δῆτα, ὦ Μέλητε; τοσοῦτον σὺ
ἐμοῦ σοφώτερος εἶ τηλικούτου ὄντος τηλικόσδε ὤν,
ὥστε σὺ μὲν ἔγνωκας ὅτι οἱ μὲν κακοὶ κακόν τι ἐργά-
ζονται ἀεὶ τοὺς μάλιστα πλησίον ἑαυτῶν, οἱ δὲ ἀγα- e
θοὶ ἀγαθόν· ἐγὼ δὲ δὴ εἰς τοσοῦτον ἀμαθίας ἥκω,
ὥστε καὶ τοῦτ' ἀγνοῶ, ὅτι, ἐάν τινα μοχθηρὸν ποιήσω
τῶν ξυνόντων, κινδυνεύσω κακόν τι λαβεῖν ἀπ' αὐ-
τοῦ, ὥστε τοῦτο τὸ τοσοῦτον κακὸν ἑκὼν ποιῶ, ὡς
φῂς σύ; ταῦτα ἐγώ σοι οὐ πείθομαι, ὦ Μέλητε,
οἶμαι δὲ οὐδὲ ἄλλον ἀνθρώπων οὐδένα· ἀλλ' ἢ οὐ p. 26.
διαφθείρω, ἢ εἰ διαφθείρω, ἄκων, ὥστε σύ γε κατ'
ἀμφότερα ψεύδει. εἰ δὲ ἄκων διαφθείρω, τῶν τοιού-
των καὶ ἀκουσίων ἁμαρτημάτων οὐ δεῦρο νόμος εἰσά-
γειν ἐστίν, ἀλλ' ἰδίᾳ λαβόντα διδάσκειν καὶ νουθετεῖν·

recurrence of the juxtaposition; see 24 c above, and 26 b below.

1. εἰπὲ — Μέλητε] The address ὦ Μέλητε has suffered tmesis by the interlacing of εἰπὲ πρὸς Διὸς with it: Dig. 288. See also Rep. 332 c, τί οἴει, ὦ πρὸς Διός, ἦν δ' ἐγώ, and 26 e below.

8. ὁ νόμος] See note, 24 c.

13. τηλικόσδε] Meletus was a very young man: cf. Euthyph. 2 b, c, and below 26 e extr.—Stallb.

p. 26. δῆλον γὰρ ὅτι, ἐὰν μάθω, παύσομαι ὃ γε ἄκων ποιῶ. σὺ δὲ ξυγγενέσθαι μέν μοι καὶ διδάξαι ἔφυγες καὶ οὐκ ἠθέλησας, δεῦρο δὲ εἰσάγεις, οἳ νόμος ἐστὶν εἰσάγειν τοὺς κολάσεως δεομένους, ἀλλ' οὐ μαθήσεως.

XIV. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, τοῦτο μὲν δῆλον ἤδη ἐστίν, ὃ ἐγὼ ἔλεγον, ὅτι Μελήτῳ τούτων οὔτε μέγα οὔτε σμικρὸν πώποτε ἐμέλησεν· ὅμως δὲ δὴ λέγε ἡμῖν, πῶς με φῂς διαφθείρειν, ὦ Μέλητε, τοὺς νεωτέρους; ἢ δῆλον δὴ ὅτι κατὰ τὴν γραφήν, ἣν ἐγράψω, θεοὺς διδάσκοντα μὴ νομίζειν οὓς ἡ πόλις νομίζει, ἕτερα δὲ δαιμόνια καινά; οὐ ταῦτα λέγεις ὅτι διδάσκων διαφθείρω; Πάνυ μὲν οὖν σφόδρα ταῦτα λέγω. Πρὸς αὐτῶν τοίνυν, ὦ Μέλητε, τούτων τῶν θεῶν, ὧν νῦν ὁ λόγος ἐστίν, εἰπὲ ἔτι σαφέστερον καὶ ἐμοὶ καὶ τοῖς ἀνδράσι τουτοισί. ἐγὼ γὰρ οὐ δύναμαι μαθεῖν, πότερον λέγεις διδάσκειν με νομίζειν εἶναί τινας θεούς, καὶ αὐτὸς ἄρα νομίζω εἶναι θεούς, καὶ οὐκ εἰμὶ τὸ παράπαν ἄθεος οὐδὲ ταύτῃ ἀδικῶ, οὐ μέντοι οὓσπερ γε ἡ πόλις, ἀλλ' ἑτέρους, καὶ τοῦτ' ἔστιν ὅ μοι ἐγκαλεῖς, ὅτι ἑτέρους· ἢ παντάπασί με φῂς οὔτε αὐτὸν νομίζειν θεοὺς τούς τε ἄλλους ταῦτα διδάσκειν. Ταῦτα λέγω, ὡς τὸ παράπαν οὐ νομίζεις

b. Disbelief of established gods, and setting forth of strange spiritual agencies—answered by reducing Meletus to a contradiction.

2. ἔφυγες] 'Didst decline.' Cf. Ar. Ach. 717, καξελαύνειν χρὴ τὸ λοιπόν, κἂν φύγῃ τις ζημιοῦν. With Plato, however, this meaning of the word is more common in the compound διαφεύγειν. Cf. Symp. 174 a. ἔφυγες and οὐκ ἠθ. form a hysteron proteron, though not a strongly marked one.

7. οὔτε — σμικρὸν] Accus. cognate after ἐμέλησεν, not nom. to ἐμέλησεν. Dig. 6.

14. ὧν νῦν] 'Whom the argument at present concerns:' equivalent to οὓς λέγομεν as distinguished from περὶ ὧν λέγομεν. — Stallb., rightly. Cf. Soph. 263 a, σὸν ἔργον δὴ φράζειν περὶ οὗ τ' ἐστὶ καὶ ὅτου [ὁ λόγος], Legg. 678 a, πόλεως καὶ πολιτείας πέρι καὶ νομοθεσίας, ὧν νῦν ὁ λόγος ἡμῖν παρέστηκεν, . . . μνήμην εἶναι.

θεούς. Ὦ θαυμάσιε Μέλητε, ἵνα τι ταῦτα λέγεις; p. 26. d
οὐδὲ ἥλιον οὐδὲ σελήνην ἄρα νομίζω θεοὺς εἶναι, ὥσπερ οἱ ἄλλοι ἄνθρωποι; Μὰ Δί', ὦ ἄνδρες δικασταί, ἐπεὶ τὸν μὲν ἥλιον λίθον φησὶν εἶναι, τὴν δὲ σελήνην γῆν. Ἀναξαγόρου οἴει κατηγορεῖν, ὦ φίλε Μέλητε, καὶ οὕτω καταφρονεῖς τῶνδε καὶ οἴει αὐτοὺς ἀπείρους γραμμάτων εἶναι, ὥστε οὐκ εἰδέναι ὅτι τὰ Ἀναξαγόρου βιβλία τοῦ Κλαζομενίου γέμει τούτων τῶν λόγων; καὶ δὴ καὶ οἱ νέοι ταῦτα παρ' ἐμοῦ μανθάνουσιν, ἃ ἔξεστιν ἐνίοτε, εἰ πάνυ πολλοῦ, δραχμῆς e

3. Μὰ Δί'] Understand *οὐ νομίζει.*

5. Ἀναξαγόρου] Xen. Mem. IV. vii. 7, makes Socrates refute the alleged opinion of Anaxagoras, *τὸν ἥλιον λίθον διάπυρον εἶναι.* Anaxagoras' formula was *μύδρον διάπυρον,* which others took to mean a mass of iron. Of the moon he asserted that it had *οἰκήσεις, λόφους, φάραγγας,* whence that he believed it to be *γῆ* was an inference.

8. *βιβλία*] "Is secundum Laert. II. iii. 8, et Clem. Alex. ibi ab interpp. laudatum, philosophorum primus *βιβλίον ἐξέδωκε συγγραφῆς, librum a se scriptum edidit.* Hoc tamen de Anaximandro alii, alii de Pherecyde Syro dicunt."—Forst.

9. *καὶ δὴ καὶ*] Ironical: 'and so then.'

10. *ἃ—πριαμένους*] The doctrines, not the books. *ἐνίοτε·* that is, if they should happen to see a play in which these doctrines are promulgated, as in Eurip. Orest. 982, *μόλοιμι τὰν οὐρανοῦ μέσον χθονός τε τεταμέναν αἰωρήμασι πέτραν ἁλύσεσι χρυσέαισι, φερομέναν δίναισι, βῶλον ἐξ Ὀλύμπου.* Dacier, as Stallbaum observes, curiously mistook the sense of this passage, and imagined that a volume of Anaxagoras might be bought at that time for a drachma. But in fact the price of paper itself was then excessive at Athens. Emile Egger, in a letter to Firmin Didot (Revue Contemporaine du 15 Septembre, 1856), mentions fragments of an account rendered by certain Athenian officers in 407 B.C., in which the price of sheets of paper (*χάρται*), for writing copies of these accounts (*ἀντίγραφα*) upon, was 1 drachma and 2 obols each, i. e. 1 fr. 20 cent.—a sum which, according to Boeck's computation, accepted by Egger, would be equivalent to 4 fr. 80 cent. now.

εἰ πάνυ πολλοῦ] 'At the most:' the same expression occurs Alcib. I. 123 c, *ἄξιος μνῶν πεντήκοντα εἰ πάνυ πολλοῦ,* Gorg. 511 d, *ἐὰν πάμπολυ, . . . δύο δραχμὰς ἐπράξατο.* The ut-

p. 26. ἐκ τῆς ὀρχήστρας πριαμένους Σωκράτους καταγελᾷν, ἐὰν προσποιῆται ἑαυτοῦ εἶναι, ἄλλως τε καὶ οὕτως ἄτοπα ὄντα. ἀλλ' ὦ πρὸς Διός, οὑτωσί σοι δοκῶ, οὐδένα νομίζειν θεὸν εἶναι; Οὐ μέντοι μὰ Δί' οὐδ' ὁπωστιοῦν. Ἄπιστός γ' εἶ, ὦ Μέλητε, καὶ ταῦτα μέντοι, ὡς ἐμοὶ δοκεῖς, σαυτῷ. ἐμοὶ γὰρ δοκεῖ οὑτοσί, ὦ ἄνδρες Ἀθηναῖοι, πάνυ εἶναι ὑβριστὴς καὶ ἀκόλαστος, καὶ ἀτεχνῶς τὴν γραφὴν ταύτην ὕβρει τινὶ p. 27. καὶ ἀκολασίᾳ καὶ νεότητι γράψασθαι. ἔοικε γὰρ

4. *νομίζειν*] Oxon. alone has *νομίζω*, which, though anacoluthic after *δοκῶ*, has a vividness of its own, and certainly points to the right way of understanding the sentence as an instance of binary structure: see Commentary. But we cannot claim acceptance for *νομίζω* with such preponderating authority in favour of *νομίζειν*.

most the *θεατρώνης* could demand for any place was a drachma; the price for an ordinary place was two oboli. See Boeck, Public Economy of Athens, translated by G. C. Lewis, p. 223. n. 315 of 2nd edition.

2. *ἄλλως τε καὶ*] Which the youths must know are not mine, 'to say nothing of their singularity,' which would make the theft still more glaring. Steinhart has well observed that the meaning of *ἄτοπα* is not 'absurd,' but 'uncommon' or 'peculiar;' etymologically, what cannot be assigned to any known place or origin. He further remarks that neither Socrates nor Plato would have rejected these notions as 'absurd.' Cf. the striking passage in Legg. 886 d, where Plato declines to controvert these positions although he would uphold the gods.

3. *οὑτωσί—εἶναι*] The two sentences *οὑτωσί σοι δοκῶ* and *οὐδένα—εἶναι* are both descriptions of the same fact, the re-statement being the more precise; *οὑτωσί σοι δοκῶ* stands by a sort of attraction for *οὑτωσί σοι δοκεῖ περὶ ἐμοῦ*, of which the filling up in the re-statement would have been *ἐμὲ οὐδένα—εἶναι*. Dig. 207, 208.

5. *Ἄπιστός κ.τ.λ.*] The question Meletus had answered affirmatively was, not whether Socrates was an atheist, but whether it was his opinion that Socrates was an atheist,—*οὑτωσί σοι δοκῶ*; Socrates' comment on this is 'Very well; nobody else will believe that, and I am pretty sure you do not yourself,' i.e. I am pretty sure you are saying what you know to be untrue.

ὥσπερ αἴνιγμα ξυντιθέντι διαπειρωμενῳ, ἆρα γνώσε- p. 27.
ται Σωκράτης ὁ σοφὸς δὴ ἐμοῦ χαριεντιζομένου καὶ ἐναντί' ἐμαυτῷ λέγοντος, ἢ ἐξαπατήσω αὐτὸν καὶ τοὺς ἄλλους τοὺς ἀκούοντας; οὗτος γὰρ ἐμοὶ φαίνεται τὰ ἐναντία λέγειν αὐτὸς ἑαυτῷ ἐν τῇ γραφῇ, ὥσπερ ἂν εἰ εἶπον· ἀδικεῖ Σωκράτης θεοὺς οὐ νομίζων, ἀλλὰ θεοὺς νομίζων. καί τοι τοῦτό ἐστι παίζοντος.

XV. Ξυνεπισκέψασθε δή, ὦ ἄνδρες, ἤ μοι φαίνεται ταῦτα λέγειν· σὺ δὲ ἡμῖν ἀπόκριναι, ὦ Μέλητε· ὑμεῖς δέ, ὅπερ κατ' ἀρχὰς ὑμᾶς παρῃτησάμην, μέμνησθέ μοι μὴ θορυβεῖν, ἐὰν ἐν τῷ εἰωθότι τρόπῳ τοὺς λόγους ποιῶμαι. ἔστιν ὅστις ἀνθρώπων, ὦ Μέλητε, ἀνθρώπεια μὲν νομίζει πράγματ' εἶναι, ἀνθρώπους δὲ οὐ νομίζει; ἀποκρινέσθω, ὦ ἄνδρες, καὶ μὴ ἄλλα καὶ ἄλλα θορυβείτω· ἔσθ' ὅστις ἵππους μὲν οὐ νομίζει εἶναι, ἱππικὰ δὲ πράγματα; ἢ αὐλητὰς μὲν οὐ νομίζει, αὐλητικὰ δὲ πράγματα; οὐκ ἔστιν, ὦ ἄριστε ἀνδρῶν· εἰ μὴ σὺ βούλει ἀποκρίνασθαι, ἐγὼ σοὶ λέγω καὶ τοῖς

b

1. διαπειρωμένῳ] 'He is like one, who, by framing a mock-riddle, is trying (as he says to himself) whether will Socrates,' &c. We have here one participial clause (ὥσπερ —ξυντιθ.) within another (διαπειρ.); as Rep. 555 e, τὸν ἀεὶ ὑπείκοντα ἐνιέντες ἀργύριον τιτρώσκοντες. Notice, that it is ὥσπερ αἴνιγμα, 'a mock-riddle,' one which has no answer.

2. ἐμοῦ χαριεντιζ.] The use of the genitive, after verbs of knowing, seeing, and shewing, seems to be limited in Attic Greek to a noun joined with a participle. After verbs of mentioning, it is not so limited. Dig. 26. Cf. Lobeck on Soph. Aj. 136.

15. ἄλλα καὶ ἄλλα] Similar expressions are—Euthyd. 273, ἄλλην καὶ ἄλλην ἀποβλέποντες, Phdr. 235 a, ὡς οἷός τε ὢν, ταὐτὰ ἑτέρως τε καὶ ἑτέρως λέγων, ἀμφοτέρως εἰπεῖν ἄριστα, 271 d, ἔστιν οὖν εἴδη τόσα καὶ τόσα, καὶ τοῖα καὶ τοῖα, Legg. 721 b, χρήμασι μὲν τόσοις καὶ τόσοις, τῇ καὶ τῇ δὲ ἀτιμίᾳ, Phileb. 24 d, τὸ εἰς αὖθίς τε καὶ αὖθις.

16. θορυβείτω] Merely by making irrelevant remarks instead of answering;—brawling, as we might say.

p. 27. ἄλλοις τουτοισί. ἀλλὰ τὸ ἐπὶ τούτῳ γε ἀπόκριναι·
c ἔσθ' ὅστις δαιμόνια μὲν νομίζει πράγματ' εἶναι, δαίμονας δὲ οὐ νομίζει; Οὐκ ἔστιν. Ὡς ὤνησας, ὅτι μόγις ἀπεκρίνω ὑπὸ τουτωνὶ ἀναγκαζόμενος. οὐκοῦν δαιμόνια μὲν φῄς με καὶ νομίζειν καὶ διδάσκειν, εἴτ' οὖν καινὰ εἴτε παλαιά· ἀλλ' οὖν δαιμόνιά γε νομίζω κατὰ τὸν σὸν λόγον, καὶ ταῦτα καὶ διωμόσω ἐν τῇ ἀντιγραφῇ. εἰ δὲ δαιμόνια νομίζω, καὶ δαίμονας δήπου πολλὴ ἀνάγκη νομίζειν μέ ἐστιν· οὐχ οὕτως ἔχει; ἔχει δή· τίθημι γάρ σε ὁμολογοῦντα, ἐπειδὴ
d οὐκ ἀποκρίνει. τοὺς δὲ δαίμονας οὐχὶ ἤτοι θεούς γε ἡγούμεθα ἢ θεῶν παῖδας; φῂς ἢ οὔ; Πάνυ γε. Οὐκοῦν εἴπερ δαίμονας ἡγοῦμαι, ὡς σὺ φῄς, εἰ μὲν θεοί τινές εἰσιν οἱ δαίμονες, τοῦτ' ἂν εἴη ὃ ἐγώ φημί σε αἰνίττεσθαι καὶ χαριεντίζεσθαι, θεοὺς οὐχ ἡγούμενον φάναι ἐμὲ θεοὺς αὖ ἡγεῖσθαι πάλιν, ἐπειδήπερ γε δαίμονας ἡγοῦμαι· εἰ δ' αὖ οἱ δαίμονες θεῶν παῖδές εἰσι νόθοι τινὲς ἢ ἐκ νυμφῶν ἢ ἔκ τινων ἄλλων, ὧν δὴ καὶ λέγονται, τίς ἂν ἀνθρώπων θεῶν μὲν παῖδας ἡγοῖτο εἶναι, θεοὺς δὲ μή; ὁμοίως γὰρ ἂν ἄτοπον εἴη,
e ὥσπερ ἂν εἴ τις ἵππων μὲν παῖδας ἡγοῖτο ἢ καὶ ὄνων

6. *δαιμόνιά γε*] To make the reasoning sound, *δαιμόνια* here and *δαιμόνια πράγματα* above ought to mean the same; which it must be acknowledged they do not. It must be observed, however, that the original perversion lay with Meletus, whose charge of *δαιμόνια καινὰ* was based simply on Socrates' *τὸ δαιμόνιον*. Now by this Socrates meant a divine agency, but Meletus had wrested it into the sense of a divine being. So that here the equivocation of Meletus is simply returned upon himself. Contrast, where Socrates is speaking uncontroversially of his monitor, the distinctly adjectival *θεῖόν τι καὶ δαιμόνιον* 31 c. See Appendix A, on *τὸ δαιμόνιον*.

8. *ἀντιγραφῇ*] The *ἔγκλημα* is so called, as it has been already called *ἀντωμοσία*. See 19 b note.

18. *ἔκ τινων ἄλλων ὧν*] That is, *ἐξ ἄλλων ὧν τινων*.

[τοὺς ἡμιόνους], ἵππους δὲ καὶ ὄνους μὴ ἡγοῖτο εἶναι. p. 27.
ἀλλ', ὦ Μέλητε, οὐκ ἔστιν ὅπως σὺ ταῦτα οὐχὶ
ἀποπειρώμενος ἡμῶν ἐγράψω [τὴν γραφὴν ταύ-
την] ἢ ἀπορῶν ὅ τι ἐγκαλοῖς ἐμοὶ ἀληθὲς ἀδίκημα·
ὅπως δὲ σύ τινα πείθοις ἂν καὶ σμικρὸν νοῦν
ἔχοντα ἀνθρώπων, ὡς οὐ τοῦ αὐτοῦ ἐστὶ καὶ
δαιμόνια καὶ θεῖα ἡγεῖσθαι, καὶ αὖ τοῦ αὐτοῦ μήτε
δαίμονας μήτε θεοὺς μήτε ἥρωας, οὐδεμία μηχανή p. 28.
ἐστιν.

Third part of Defence; —Justification of the pursuit in which his life had been spent, viz., that of a moral reformer, interwoven with notices of the reformatory doctrine itself.

XVI. Ἀλλὰ γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς μὲν
ἐγὼ οὐκ ἀδικῶ κατὰ τὴν Μελήτου γραφήν, οὐ πολλῆς
μοι δοκεῖ εἶναι ἀπολογίας, ἀλλ' ἱκανὰ καὶ ταῦτα· ὃ
δὲ καὶ ἐν τοῖς ἔμπροσθεν ἔλεγον, ὅτι πολλή μοι ἀπέ-
χθεια γέγονε καὶ πρὸς πολλούς, εὖ ἴστε ὅτι ἀληθές
ἐστι. καὶ τοῦτ' ἔστιν ὃ ἐμὲ αἱρήσει, ἐάνπερ αἱρῇ, οὐ
Μέλητος οὐδὲ Ἄνυτος, ἀλλ' ἡ τῶν πολλῶν διαβολή
τε καὶ φθόνος. ἃ δὴ πολλοὺς καὶ ἄλλους καὶ ἀγα- b
θοὺς ἄνδρας ἥρηκεν, οἶμαι δὲ καὶ αἱρήσειν· οὐδὲν δὲ
δεινὸν μὴ ἐν ἐμοὶ στῇ. ἴσως δ' ἂν οὖν εἴποι τις·

6. *πείθοις ἂν ὡς οὐ*] The *οὐ* is not simply pleonastic, as in the case of two negatives in the same clause, but it is irrational. It is a confused anticipation of the coming negative *οὐδεμία*. Dig. 264.

18. *οὐδὲν—στῇ*] 'The rule is in no danger of breaking down in my case.' This use of *οὐδὲν δεινὸν* is idiomatic: cf. Gorg. 520 d, *οὐδὲν δεινὸν αὐτῷ μὴ ἀδικηθῇ*, 'we need not apprehend for him any injury,' Phædo 84 b, *οὐδὲν δεινὸν μὴ φοβηθῇ*, 'we need not apprehend that the soul will have to fear.' The 'apprehension' is supposed to affect the speaker and his hearers, as interested in the contingency under discussion. So here Socrates is speaking half ironically, interesting himself, as it were, for the rule, against himself. *στῇ* is also idiomatically used, as a quasi-impersonal;—that is, a vague nominative, such as 'the course of events,' is understood. See Dig. 97; where among other parallels is given Ar. Eth. Nic. VI. ix. 9, *στήσεται γὰρ κἀκεῖ*. *στῇ* is literally 'come to a stand-still.' Stallb. is wrong here.

p. 28. εἶτ' οὐκ αἰσχύνει, ὦ Σώκρατες, τοιοῦτον ἐπιτήδευμα ἐπιτηδεύσας, ἐξ οὗ κινδυνεύεις νυνὶ ἀποθανεῖν; ἐγὼ δὲ τούτῳ ἂν δίκαιον λόγον ἀντείποιμι, ὅτι οὐ καλῶς λέγεις, ὦ ἄνθρωπε, εἰ οἴει δεῖν κίνδυνον ὑπολογίζεσθαι τοῦ ζῆν ἢ τεθνάναι ἄνδρα ὅτου τι καὶ σμικρὸν ὄφελός ἐστιν, ἀλλ' οὐκ ἐκεῖνο μόνον σκοπεῖν, ὅταν πράττῃ, πότερον δίκαια ἢ ἄδικα πράττει, καὶ ἀνδρὸς ἀγαθοῦ c ἔργα ἢ κακοῦ. φαῦλοι γὰρ ἂν τῷ γε σῷ λόγῳ εἶεν τῶν ἡμιθέων ὅσοι ἐν Τροίᾳ τετελευτήκασιν οἵ τε ἄλλοι καὶ ὁ τῆς Θέτιδος υἱός, ὃς τοσοῦτον τοῦ κινδύνου κατεφρόνησε παρὰ τὸ αἰσχρόν τι ὑπομεῖναι, ὥστε ἐπειδὴ εἶπεν ἡ μήτηρ αὐτῷ προθυμουμένῳ Ἕκτορα ἀποκτεῖναι, θεὸς οὖσα, οὑτωσί πως, ὡς ἐγῷμαι· ὦ παῖ, εἰ τιμωρήσεις Πατρόκλῳ τῷ ἑταίρῳ τὸν φόνον καὶ Ἕκτορα ἀποκτενεῖς, αὐτὸς ἀποθανεῖ· αὐτίκα γάρ τοι, φησί, μεθ' Ἕκτορα πότμος ἑτοῖμος· ὁ δὲ ταῦτ' ἀκούσας τοῦ μὲν θανάτου καὶ τοῦ κινδύνου ὠλιγώρησε, πολὺ δὲ μᾶλλον δείσας τὸ ζῆν κακὸς ὢν d καὶ τοῖς φίλοις μὴ τιμωρεῖν, αὐτίκα, φησί, τεθναίην δίκην ἐπιθεὶς τῷ ἀδικοῦντι, ἵνα μὴ ἐνθάδε μένω καταγέλαστος παρὰ νηυσὶ κορωνίσιν ἄχθος ἀρούρης· μὴ αὐτὸν οἴει φροντίσαι θανάτου καὶ κινδύνου; οὕτω γὰρ ἔχει, ὦ ἄνδρες Ἀθηναῖοι, τῇ ἀληθείᾳ· οὗ ἂν τις ἑαυτὸν τάξῃ ἢ ἡγησάμενος βέλτιστον εἶναι ἢ ὑπ' ἄρχοντος ταχθῇ, ἐνταῦθα δεῖ, ὡς ἐμοὶ δοκεῖ, μένοντα

a. That first and foremost it was undertaken in obedience to the already mentioned divine call, and therefore to be performed without respect of consequences or counter-inducements

4. *ὑπολογίζεσθαι.*] See below, d note.

5. *ὅτου τι καὶ σμικρὸν*] 'A man of any worth at all.' This idiomatic concurrence of *καὶ* with *σμικρόν τι* is frequent: Dig. 132.

10. *ὁ τῆς Θέτιδος*] The same illustration is used Symp. 179 e. The reference in what follows is to Hom. Il. xviii. 90.

23. *οὗ ἄν τις κ.τ.λ.*] The former *ἢ* in this sentence is hyperbatically postponed to *ἑαυτὸν τάξῃ*, which in sense is included under it. Dig. 290*.

κινδυνεύειν, μηδὲν ὑπολογιζόμενον μήτε θάνατον μήτε p. 28.
ἄλλο μηδὲν πρὸ τοῦ αἰσχροῦ.

XVII. Ἐγὼ οὖν δεινὰ ἂν εἴην εἰργασμένος, ὦ
ἄνδρες Ἀθηναῖοι, εἰ, ὅτε μέν με οἱ ἄρχοντες ἔταττον, e
οὓς ὑμεῖς εἵλεσθε ἄρχειν μου, καὶ ἐν Ποτιδαίᾳ καὶ ἐν
Ἀμφιπόλει καὶ ἐπὶ Δηλίῳ, τότε μὲν οὗ ἐκεῖνοι ἔταττον ἔμενον ὥσπερ καὶ ἄλλος τις καὶ ἐκινδύνευον ἀποθανεῖν, τοῦ δὲ θεοῦ τάττοντος, ὡς ἐγὼ ᾠήθην τε καὶ ὑπέλαβον, φιλοσοφοῦντά με δεῖν ζῆν καὶ ἐξετά-
ζοντα ἐμαυτὸν καὶ τοὺς ἄλλους, ἐνταῦθα δὲ φοβηθεὶς p. 29.
ἢ θάνατον ἢ ἄλλο ὁτιοῦν πρᾶγμα λίποιμι τὴν τάξιν. δεινὸν μέντ' ἂν εἴη, καὶ ὡς ἀληθῶς τότ' ἄν με δικαίως εἰσάγοι τις εἰς δικαστήριον, ὅτι οὐ νομίζω θεοὺς εἶναι ἀπειθῶν τῇ μαντείᾳ καὶ δεδιὼς θάνατον καὶ οἰόμενος
σοφὸς εἶναι οὐκ ὤν. τὸ γάρ τοι θάνατον δεδιέναι, ὦ ἄνδρες, οὐδὲν ἄλλο ἐστὶν ἢ δοκεῖν σοφὸν εἶναι μὴ ὄντα· δοκεῖν γὰρ εἰδέναι ἐστὶν ἃ οὐκ οἶδεν. οἶδε μὲν γὰρ οὐδεὶς τὸν θάνατον οὐδ' εἰ τυγχάνει τῷ ἀνθρώπῳ πάντων μέγιστον ὂν τῶν ἀγαθῶν, δεδίασι δ' ὡς εὖ εἰδότες ὅτι μέγιστον τῶν κακῶν ἐστί. καὶ b
τοῦτο πῶς οὐκ ἀμαθία ἐστὶν αὕτη ἡ ἐπονείδιστος, ἡ

1. ὑπολογιζόμενον] 'Giving any countervailing weight to;' literally, 'reckoning per contra.' The ὑπὸ conveys no image of subtraction, according to our notion of the operation, but the signification of meeting from an opposite direction: see Dig. 131.

5. Ποτιδαίᾳ—Δηλίῳ] At Potidæa (see Charm. init., Symp. 219, 220) between 432 and 429 B.C., Socrates rescued Alcibiades but resigned in his favour his claim to the reward of bravery. Delium, 424 B.C., witnessed his famous retreat, (Symp. 221 a, b, Lach. 181 b). Of his campaign before Amphipolis, 422 B.C., we know less.

10. ἐνταῦθα δὲ] ἐνταῦθα repeats τοῦ θεοῦ τάττοντος κ.τ.λ.—δὲ marks the apodosis.

20. καὶ τοῦτο .... αὕτη] Not pleonastic; but 'what is this but that very same reprehensible ignorance?' τοῦ οἴεσθαι which follows is a genitive epexegetic of ἀμαθία. Dig. 24.

p. 29. τοῦ οἴεσθαι εἰδέναι ἃ οὐκ οἶδεν; ἐγὼ δέ, ὦ ἄνδρες, τούτῳ καὶ ἐνταῦθα ἴσως διαφέρω τῶν πολλῶν ἀνθρώπων, καὶ εἰ δή τῳ σοφώτερός του φαίην εἶναι, τούτῳ ἄν, ὅτι οὐκ εἰδὼς ἱκανῶς περὶ τῶν ἐν Ἅιδου οὕτω καὶ οἶομαι οὐκ εἰδέναι· τὸ δὲ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι, καὶ θεῷ καὶ ἀνθρώπῳ, ὅτι κακὸν καὶ αἰσχρόν ἐστιν οἶδα. πρὸ οὖν τῶν κακῶν, ὧν οἶδα ὅτι κακά ἐστιν, ἃ μὴ οἶδα εἰ ἀγαθὰ ὄντα τυγχάνει οὐδέποτε φοβήσομαι οὐδὲ φεύξομαι· ὥστε οὐδ' εἴ με
c νῦν ὑμεῖς ἀφίετε Ἀνύτῳ ἀπιστήσαντες, ὃς ἔφη ἢ τὴν ἀρχὴν οὐ δεῖν ἐμὲ δεῦρο εἰσελθεῖν ἢ, ἐπειδὴ εἰσῆλθον, οὐχ οἷόν τε εἶναι τὸ μὴ ἀποκτεῖναί με, λέγων πρὸς ὑμᾶς ὡς, εἰ διαφευξοίμην, ἤδη ἂν ὑμῶν οἱ υἱεῖς

10 or human inhibition;—

2. *τούτῳ καὶ κ.τ.λ.*] 'In this province also [of the unseen] I believe I am distinguished from the mass of mankind herein, and if I were to say I was wiser in any point than any other person, I should say it was herein, that' &c. The former as well as the latter *τούτῳ* both relate to the same fact, to the same *ὅτι*,—upon which a strong emphasis is thus made to converge. Cf. Gorg. 484 e, *λαμπρός τ' ἐστὶν ἕκαστος ἐν τούτῳ, κἀπὶ τοῦτ' ἐπείγεται, Νέμων τὸ πλεῖστον ἡμέρας τούτῳ μέρος, Ἵν' αὐτὸς αὑτοῦ τυγχάνει βέλτιστος ὤν.* The suppression after *τούτῳ ἄν* is a graceful evasion of self-assertion. See Dig. 255.

10. *ἀπιστήσαντες*] 'Disbelieving' the representation urged by Anytus as the reason why Socrates should die; not 'refusing to follow Anytus' counsel' to put Socrates to death. It is therefore to be connected, not with the words immediately following (*ὃς ἔφη—ἀποκτεῖναί με*), but with those next to them (*λέγων—διαφθαρήσονται*). Stallb. differs.

13. *ἤδη ἄν*] The construction of the fut. indic. with *ἄν* is abundantly established. *ἄν* here belongs to *διαφθαρήσονται*, and to refer it to the part. *ἐπιτηδεύοντες* is a shift which will not apply to other passages (Dig. 58), and dislocates this. Observe, as to *διαφθαρήσονται* itself, that its not being affected by the Oratio Obliqua is to be accounted for regularly; it is because the event it denotes is still in the future at the moment of its being alluded to by Socrates. Plato is never arbitrarily irregular in this class of constructions: Dig. 90. It might be said here, that *διαφευξοίμην* denotes an event equally in the future. But

ἐπιτηδεύοντες ἃ Σωκράτης διδάσκει πάντες παντά- p. 29.
πασι διαφθαρήσονται,—εἶ μοι πρὸς ταῦτα εἴποιτε· ὦ
Σώκρατες, νῦν μὲν Ἀνύτῳ οὐ πεισόμεθα, ἀλλ' ἀφί-
εμέν σε, ἐπὶ τούτῳ μέντοι, ἐφ' ᾧτε μηκέτι ἐν ταύτῃ
τῇ ζητήσει διατρίβειν μηδὲ φιλοσοφεῖν· ἐὰν δὲ ἁλῷς
ἔτι τοῦτο πράττων, ἀποθανεῖ· εἰ οὖν με, ὅπερ εἶπον, d
ἐπὶ τούτοις ἀφίοιτε, εἴποιμ' ἂν ὑμῖν ὅτι ἐγὼ ὑμᾶς, ὦ
ἄνδρες Ἀθηναῖοι, ἀσπάζομαι μὲν καὶ φιλῶ, πείσομαι
δὲ μᾶλλον τῷ θεῷ ἢ ὑμῖν, καὶ ἕωσπερ ἂν ἐμπνέω καὶ
οἷός τε ὦ, οὐ μὴ παύσωμαι φιλοσοφῶν καὶ ὑμῖν
παρακελευόμενός τε καὶ ἐνδεικνύμενος ὅτῳ ἂν ἀεὶ
ἐντυγχάνω ὑμῶν, λέγων οἷάπερ εἰωθα, ὅτι ὦ ἄριστε
ἀνδρῶν, Ἀθηναῖος ὤν, πόλεως τῆς μεγίστης καὶ
εὐδοκιμωτάτης εἰς σοφίαν καὶ ἰσχύν, χρημάτων μὲν
οὐκ αἰσχύνει ἐπιμελούμενος, ὅπως σοι ἔσται ὡς πλεῖ- e
στα, καὶ δόξης καὶ τιμῆς, φρονήσεως δὲ καὶ ἀλη-
θείας καὶ τῆς ψυχῆς, ὅπως ὡς βελτίστη ἔσται, οὐκ
ἐπιμελεῖ οὐδὲ φροντίζεις; καὶ ἐάν τις ὑμῶν ἀμφισ-
βητῇ καὶ φῇ ἐπιμελεῖσθαι, οὐκ εὐθὺς ἀφήσω αὐτὸν
οὐδ' ἄπειμι, ἀλλ' ἐρήσομαι αὐτὸν καὶ ἐξετάσω καὶ
ἐλέγξω, καὶ ἐάν μοι μὴ δοκῇ κεκτῆσθαι ἀρετήν, φάναι

the plan being, to teach the paramount value of the soul, and the duty of caring for it, and the need of consciously-possessed principles of action.

then it is not an event which is assumed as about to happen at all.

4. *ἐφ' ᾧτε . . . . . φιλοσοφεῖν·*] For constructions of relative pronouns and adverbs with the infinitive, see Dig. 79.

8. *ἀσπάζομαι καὶ φιλῶ*] "'Ασπάζεσθαι est aliquem salutare ita, ut eum amplectaris; *φιλεῖν* ita, ut eum osculeris."—Stallb. Here of course both words are used, by transference, for the feelings which those actions betoken. Note too, that the transference affects both: it is not that *φιλῶ* already expresses a feeling, and thus gives the turn to *ἀσπαζόμαι*· their coordination in the phrase requires that they should enter into it homogeneously.

πείσομαι—ὑμῖν] The parallel is striking to the declaration of the holy apostles, Acts v. 29, *πειθαρχεῖν δεῖ Θεῷ μᾶλλον ἢ ἀνθρώποις.*

14. *ἰσχύν*] Stallb., after Fischer, "de animi magnitudine et fortitudine."

p. 30. δέ, ὀνειδιῶ ὅτι τὰ πλείστου ἄξια περὶ ἐλαχίστου
ποιεῖται, τὰ δὲ φαυλότερα περὶ πλείονος. ταῦτα καὶ
νεωτέρῳ καὶ πρεσβυτέρῳ, ὅτῳ ἂν ἐντυγχάνω, ποιήσω,
καὶ ξένῳ καὶ ἀστῷ, μᾶλλον δὲ τοῖς ἀστοῖς, ὅσῳ μου
ἐγγυτέρω ἐστὲ γένει. ταῦτα γὰρ κελεύει ὁ θεός, εὖ
ἴστε, καὶ ἐγὼ οἶομαι οὐδέν πω ὑμῖν μεῖζον ἀγαθὸν
γενέσθαι ἐν τῇ πόλει ἢ τὴν ἐμὴν τῷ θεῷ ὑπηρεσίαν.
οὐδὲν γὰρ ἄλλο πράττων ἐγὼ περιέρχομαι ἢ πείθων
ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους μήτε σωμάτων
b ἐπιμελεῖσθαι μήτε χρημάτων πρότερον μηδὲ οὕτω
σφόδρα ὡς τῆς ψυχῆς, ὅπως ὡς ἀρίστη ἔσται, λέγων
ὅτι οὐκ ἐκ χρημάτων ἀρετὴ γίγνεται, ἀλλ' ἐξ ἀρετῆς
χρήματα καὶ τἆλλα ἀγαθὰ τοῖς ἀνθρώποις ἅπαντα
καὶ ἰδίᾳ καὶ δημοσίᾳ. εἰ μὲν οὖν ταῦτα λέγων δια-
φθείρω τοὺς νέους, ταῦτ' ἂν εἴη βλαβερά· εἰ δέ τίς μέ
φησιν ἄλλα λέγειν ἢ ταῦτα, οὐδὲν λέγει. πρὸς ταῦτα,
φαίην ἄν, ὦ Ἀθηναῖοι, ἢ πείθεσθε Ἀνύτῳ ἢ μή, καὶ
ἢ ἀφίετε ἢ μὴ ἀφίετε, ὡς ἐμοῦ οὐκ ἂν ποιήσοντος
c ἄλλα, οὐδ' εἰ μέλλω πολλάκις τεθνάναι.

XVIII. Μὴ θορυβεῖτε, ἄνδρες Ἀθηναῖοι, ἀλλ' ἐμμείνατέ μοι οἷς ἐδεήθην ὑμῶν, μὴ θορυβεῖν ἐφ' οἷς ἂν λέγω, ἀλλ' ἀκούειν· καὶ γάρ, ὡς ἐγὼ οἶμαι, ὀνήσεσθε ἀκούοντες. μέλλω γὰρ οὖν ἄττα ὑμῖν ἐρεῖν καὶ ἄλλα, ἐφ' οἷς ἴσως βοήσεσθε· ἀλλὰ μηδαμῶς ποιεῖτε τοῦτο. εὖ γὰρ ἴστε, ἐὰν ἐμὲ ἀποκτείνητε τοιοῦτον ὄντα, οἷον ἐγὼ λέγω, οὐκ ἐμὲ μείζω βλάψετε

b. That it was of vital use to his countrymen,—a divine blessing to them,

15. ταῦτ' ἂν εἴη] 'If preaching virtue is perversion, then indeed I am a mischievous person; for I never rest from preaching it.' The ταῦτα is not identical with the ταῦτα of the line before, but is more comprehensive; it stands for the whole clause referred to in the phrase ταῦτα λέγων, and means 'this practice of mine.'

24. βοήσεσθε] A stronger expression of feeling than θορυβεῖν.

ἢ ὑμᾶς αὐτούς· ἐμὲ μὲν γὰρ οὐδὲν ἂν βλάψειεν p. 30.
οὔτε Μέλητος οὔτε Ἄνυτος· οὐδὲ γὰρ ἂν δύναιτο· d
οὐ γὰρ οἶομαι θεμιτὸν εἶναι ἀμείνονι ἀνδρὶ ὑπὸ χείρονος βλάπτεσθαι. ἀποκτείνειε μέντ' ἂν ἴσως ἢ ἐξελάσειεν ἢ ἀτιμάσειεν· ἀλλὰ ταῦτα οὗτος ἴσως οἴεται καὶ ἄλλος τίς που μεγάλα κακά, ἐγὼ δ' οὐκ οἶομαι, ἀλλὰ πολὺ μᾶλλον ποιεῖν ἃ οὗτος νυνὶ ποιεῖ, ἄνδρα ἀδίκως ἐπιχειρεῖν ἀποκτιννύναι. νῦν οὖν, ὦ ἄνδρες Ἀθηναῖοι, πολλοῦ δέω ἐγὼ ὑπὲρ ἐμαυτοῦ ἀπολογεῖσθαι, ὥς τις ἂν οἴοιτο, ἀλλ' ὑπὲρ ὑμῶν, μή τι ἐξαμάρτητε περὶ τὴν τοῦ θεοῦ δόσιν ὑμῖν ἐμοῦ καταψηφισάμενοι. ἐὰν γὰρ ἐμὲ ἀποκτείνητε, οὐ ῥᾳδίως e
ἄλλον τοιοῦτον εὑρήσετε, ἀτεχνῶς, εἰ καὶ γελοιότερον εἰπεῖν, προσκείμενον τῇ πόλει ὑπὸ τοῦ θεοῦ, ὥσπερ ἵππῳ μεγάλῳ μὲν καὶ γενναίῳ, ὑπὸ μεγέθους δὲ νωθεστέρῳ καὶ δεομένῳ ἐγείρεσθαι ὑπό μύωπός τινος· οἷον δή μοι δοκεῖ ὁ θεὸς ἐμὲ τῇ πόλει προστεθεικέναι τοιοῦτόν τινα, ὃς ὑμᾶς ἐγείρων καὶ πείθων καὶ ὀνειδίζων ἕνα ἕκαστον οὐδὲν παύομαι τὴν ἡμέραν ὅλην p. 31.
πανταχοῦ προσκαθίζων. τοιοῦτος οὖν ἄλλος οὐ ῥᾳδίως ὑμῖν γενήσεται, ὦ ἄνδρες, ἀλλ' ἐὰν ἐμοὶ πείθησθε, φείσεσθέ μου· ὑμεῖς δ' ἴσως τάχ' ἂν ἀχθόμενοι, ὥσπερ οἱ νυστάζοντες ἐγειρόμενοι, κρούσαντες

5. ἀτιμάσειεν] H substitutes a conjecture of his own, ἀτιμώσειεν, quite needlessly; for ἀτιμάζω, though it properly means to treat or regard as ἄτιμος, while ἀτιμόω is to make ἄτιμος, yet also has this technical sense: cf. Legg. 762 d, περὶ τὰς τῶν νέων ἀρχὰς ἠτιμάσθω πάσας. 23. κρούσαντες] Another unhappy conjectural substitution of H occurs here,—ὀρούσαντες, because (he says)

13. εἰ καὶ γελοιότερον refers, not to the words immediately succeeding, namely, προσκείμενον—θεοῦ, but to the simile which follows them.

23. κρούσαντες] 'With a single tap,'—as you would a μύωψ.

p. 31. ἄν με, πειθόμενοι Ἀνύτῳ, ῥᾳδίως ἂν ἀποκτείναιτε, εἶτα τὸν λοιπὸν βίον καθεύδοντες διατελοῖτ' ἄν, εἰ μή τινα ἄλλον ὁ θεὸς ὑμῖν ἐπιπέμψειε κηδόμενος ὑμῶν. ὅτι δ' ἐγὼ τυγχάνω ὢν τοιοῦτος, οἷος ὑπὸ
b τοῦ θεοῦ τῇ πόλει δεδόσθαι, ἐνθένδε ἂν κατανοήσαιτε· οὐ γὰρ ἀνθρωπίνῳ ἔοικε τὸ ἐμὲ τῶν μὲν ἐμαυτοῦ ἀπάντων ἠμεληκέναι καὶ ἀνέχεσθαι τῶν οἰκείων ἀμελουμένων τοσαῦτα ἤδη ἔτη, τὸ δὲ ὑμέτερον πράττειν ἀεί, ἰδίᾳ ἑκάστῳ προσιόντα ὥσπερ πατέρα ἢ ἀδελφὸν πρεσβύτερον, πείθοντα ἐπιμελεῖσθαι ἀρετῆς. καὶ εἰ μέντοι τι ἀπὸ τούτων ἀπέλαυνον καὶ μισθὸν λαμβάνων ταῦτα παρεκελευόμην, εἶχον ἄν τινα λόγον· νῦν δὲ ὁρᾶτε δὴ καὶ αὐτοί, ὅτι οἱ κατήγοροι τἆλλα πάντα ἀναισχύντως οὕτω κατηγοροῦντες τοῦτό γε οὐχ οἷοί
c τε ἐγένοντο ἀπαναισχυντῆσαι παρασχόμενοι μάρτυρα, ὡς ἐγώ ποτέ τινα ἢ ἐπραξάμην μισθὸν ἢ ᾔτησα. ἱκανὸν γάρ, οἶμαι, ἐγὼ παρέχομαι τὸν μάρτυρα, ἀληθῆ ὡς λέγω, τὴν πενίαν.

as its singularity alone might suffice to shew.

XIX. Ἴσως ἂν οὖν δόξειεν ἄτοπον εἶναι, ὅτι δὴ

c. (In answer to a

κρούσαντες is 'debile pulsandi verbum.' Such a word however is just what was wanted.

10. καὶ εἰ μέντοι τι] H drops the τοι, probably for want of considering that the collocation is hyperbatical for καὶ μέντοι εἴ τι. Cf. 41 e.

14. οὐχ οἷοί τε] They would doubtless make the assertion, cf. 19 d: but what they did not find it practicable to do was to bring evidence in support of it. That is, grammatically speaking, the primary intention of the sentence ἀπαναισχυντῆσαι — μάρτυρα lies in the participial clause, and not in the verb ἀπαναισχυντῆσαι. See Dig. 303.

19. Ἴσως ἂν οὖν] The dominant reason of Socrates' abstinence from public affairs was not so much the impossibility of maintaining himself in a public position without sacrifice of principle or of life; but rather, that he felt his mission to be a moral and an individual one, and that from his point of view it was infinitely less important to rectify a

supposed objection) that to have entered public life, in preference to dealing with individuals, was not a method practically possible for a righteous man,

ἐγὼ ἰδίᾳ μὲν ταῦτα ξυμβουλεύω περιιὼν καὶ πολυ- p. 31.
πραγμονῶ, δημοσίᾳ δὲ οὐ τολμῶ ἀναβαίνων εἰς τὸ
πλῆθος τὸ ὑμέτερον ξυμβουλεύειν τῇ πόλει. τούτου
δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολ-
λαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνε- d
ται φωνή, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλη-
τος ἐγράψατο· ἐμοὶ δὲ τοῦτ' ἐστὶν ἐκ παιδὸς ἀρξάμε-
νον φωνή τις γιγνομένη, ἣ ὅταν γένηται, ἀεὶ ἀπο-
τρέπει με τοῦτο ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ
οὔποτε· τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ
πράττειν. καὶ παγκάλως γέ μοι δοκεῖ ἐναντιοῦσθαι·
εὖ γὰρ ἴστε, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ ἐγὼ πάλαι ἐπε-
χείρησα πράττειν τὰ πολιτικὰ πράγματα, πάλαι ἂν e
ἀπολώλη καὶ οὔτ' ἂν ὑμᾶς ὠφελήκη οὐδὲν οὔτ' ἂν
ἐμαυτόν. καί μοι μὴ ἄχθεσθε λέγοντι τἀληθῆ· οὐ

5. *γίγνεται φωνή*] All MSS. have this *φωνή*, and all edd. except V bracket it. Needlessly; Fischer points out the parallel to the next sentence, *τοῦτ' ἐστὶν ἐκ παιδὸς ἀρξάμενον φωνή τις γιγνομένη*. 9. *τοῦτο ὃ ἄν*] Edd. prefer *τούτου*. But *ἀποτρέπει πράττειν τοῦτο* is a construction borne out by Theæt. 151 a, *ἐνίοις μὲν τὸ γιγνόμενόν μοι δαιμόνιον ἀποτρέπει ξυνεῖναι*, [Dem.] Procem. xx. p. 1431, *δείξας ἃ τότε ἡμάρτετε, νῦν ἀποτρέψω ταῦτα παθεῖν*, and analogous constructions such as Xen. An. III. i. 20, *πορίζεσθαι τὰ ἐπιτήδεια κατέχουσιν ἡμᾶς*. *τοῦτο* here is the reading of five MSS. besides Oxon. It is moreover less likely to have been invented than *τούτου*. 15. *καί μοι μὴ*] H alters this into *καὶ μή μοι*, comparing Phædo 105 b. But *καί μοι* is a common commencement of a sentence in the Orators.

particular policy, than by laying hold of individuals and making statesmen of them to raise the standard of statesmanship.

2. *ἀναβαίνων*] To the Pnyx; as in the famous *πᾶς ὁ δῆμος ἄνω καθῆτο*, Dem. de Cor. 169. p. 285.

5. *θεῖόν τι καὶ δαιμόνιον*] See Appendix A, on *τὸ δαιμόνιον*.

6. *ἐν τῇ γραφῇ*] When he spoke of the *ἕτερα καινὰ δαιμόνια*,—a perversion of the truth which Socrates characterises as a caricature by his use of the word *ἐπικωμῳδῶν*, which seems to mean 'selecting for caricature.' So *σκώπτειν* is to mock at, *ἐπισκώπτειν* to mock at some particular trait in a person.

p. 31. γὰρ ἔστιν ὅστις ἀνθρώπων σωθήσεται οὔτε ὑμῖν οὔτε
ἄλλῳ πλήθει οὐδενὶ γνησίως ἐναντιούμενος καὶ δια-
p. 32. κωλύων πολλὰ ἄδικα καὶ παράνομα ἐν τῇ πόλει
γίγνεσθαι, ἀλλ' ἀναγκαῖόν ἐστι τὸν τῷ ὄντι μαχού-
μενον ὑπὲρ τοῦ δικαίου, καὶ εἰ μέλλει ὀλίγον χρόνον
σωθήσεσθαι, ἰδιωτεύειν ἀλλὰ μὴ δημοσιεύειν.

XX. Μεγάλα δ' ἔγωγε ὑμῖν τεκμήρια παρέξομαι τούτων, οὐ λόγους, ἀλλ' ὃ ὑμεῖς τιμᾶτε, ἔργα. ἀκούσατε δή μου τὰ ἐμοὶ ξυμβεβηκότα, ἵν' εἰδῆτε ὅτι οὐδ' ἂν ἑνὶ ὑπεικάθοιμι παρὰ τὸ δίκαιον δείσας θάνατον, μὴ ὑπείκων δὲ ἅμα κἂν ἀπολοίμην. ἐρῶ δὲ ὑμῖν φορ-
b τικὰ μὲν καὶ δικανικά, ἀληθῆ δέ. ἐγὼ γάρ, ὦ 'Αθη-

as experience on two occasions of his life had shewn him.

11. ἅμα κἂν] This is Ast's conjecture. MSS. are chiefly divided between ἅμα καὶ ἅμα ἂν (which Oxon. exhibits), ἅμα καὶ ἀπολοίμην, and ἀλλὰ καὶ ἅμ' ἂν ἀπ. Of the edd., VSZ have ἅμα καὶ ἅμ' ἄν, B ἅμ' ἂν ἀπολοίμην, H ἅμ' ἂν καὶ ἀπολοίμην. It seems vain to find more than a shadowy justification for ἅμα καὶ ἅμα. The variants may easily have come from ἅμα κἂν, in the form ἅμα καὶ ἂν. My friend Mr. Campbell ingeniously proposes ἄλλα καὶ ἄλλ' ἂν ἀπ., 'should be ready to meet death in sundry forms:' cf. Soph. O. T. 661, ὅ τι πύματον ὀλοίμαν. 12. δικανικά] H conjecturally prefixes οὐ, observing "quis credat, Socratem, qui statim a principio se ξένως ἔχειν τῆς ἐνθάδε λέξεως professus est, nunc judicialia verba promittere?" But equally how then should Socrates know that what he was going to say was not δικανικά; Besides, the speech in point of fact betrays abundant knowledge of technicalities; cf. 34 a, εἰ δὲ τότε κ.τ.λ. See Commentary below.

8. ὃ — ἔργα] 'What your body is wont to appreciate highly, the actions of a life.' ὑμεῖς (says Socrates),—not as individuals, but as representing Athenians generally, when acting as judges in the Ecclesia, or the Heliæa,—'you particularly are susceptible to such appeals.'

Here appears, in a refined form, the common τόπος of rehearsing a man's past services in his defence; of which practice Lysias, xii. 38. p. 123, says, ἐν τῇδε τῇ πόλει εἰθισμένον ἐστί, πρὸς μὲν τὰ κατηγορημένα μηδὲν ἀπολογεῖσθαι, περὶ δὲ σφῶν αὐτῶν .... ὡς στρατιῶται ἀγαθοί εἰσι κ.τ.λ. Whence again Socrates says just below, he is 'about to employ a topic of vulgar use, and one that savours of the law-courts.'

11. μὴ ὑπείκων δέ] 'But would be ready to perish at once as the price of not yielding.'

φορτικὰ καὶ δικανικά] φορτικὰ

ναῖοι, ἄλλην μὲν ἀρχὴν οὐδεμίαν πώποτε ἦρξα ἐν τῇ p. 32.
πόλει, ἐβούλευσα δέ· καὶ ἔτυχεν ἡμῶν ἡ φυλὴ Ἀντιοχὶς πρυτανεύουσα, ὅτε ὑμεῖς τοὺς δέκα στρατηγοὺς τοὺς οὐκ ἀνελομένους τοὺς ἐκ τῆς ναυμαχίας ἐβούλεσθε ἀθρόους κρίνειν, παρανόμως, ὡς ἐν τῷ ὑστέρῳ χρόνῳ πᾶσιν ὑμῖν ἔδοξε. τότ' ἐγὼ μόνος τῶν πρυτάνεων ἠναντιώθην ὑμῖν μηδὲν ποιεῖν παρὰ τοὺς

7. ὑμῖν is retained, in deference to weight of MSS., and with all the edd., against Oxon. and 2 other MSS.: although *ἐναντιοῦσθαι* does not require a dative of reference, especially in a description of formal proceedings.

stands here in its simple meaning of 'vulgar' in the sense of 'common,'—not as implying (as Fischer and others think) self-assertion or bad taste; a meaning which (1) would make *ἐρῶ ὑμῖν* sound blunt even to harshness; (2) does not harmonise with *δικανικά*, for an arrogant tone is not characteristic of persons addressing their judges; and (3) does not suit the parallel passage Gorg. 482 e, *εἰς τοιαῦτα ἄγεις φορτικὰ καὶ δημηγορικά, . . . ἃ φύσει μὲν οὔκ ἐστι καλά, νόμῳ δέ.* *δικανικὰ* is likewise a colourless word; — not 'lawyerlike' in the sense of 'dry,' nor yet 'streitsüchtig' (Steinhart), but simply 'characteristic of speakers in courts of justice.'

3. *τοὺς δέκα*] Strictly only eight; for Conon was not included, and another of the ten was dead. Xenophon, in one of his accounts (Mem. I. i. 18), speaks with more definite inaccuracy of *ἐννέα στρατηγούς*.

5. *παρανόμως*, in two respects; (1) that they were tried *ἄθροοι* (see Thirlwall, Hist. Gr. vol. IV. App. 2, where it is shewn that this right of separate trial is not to be traced to the decree of Cannonus); and (2) that they were not heard in their own defence; for in the assembly in which the charge was brought first informally, they only (Xen. Hell. I. vii. 5) *βραχέα ἕκαστος ἀπελογήσατο, οὐ γὰρ προὐτέθη σφίσι λόγος κατὰ τὸν νόμον·* and in that in which they were condemned they were not heard at all.

7. *ἠναντιώθην . . . ἐναντία ἐψηφισάμην*] What is the precise reference of these expressions? Was *ἠναντιώθην* a refusal to put the question? This is left for uncertain by Mr. Grote, who says that upon Xenophon's shewing 'it can hardly be accounted certain that Socrates was Epistates.' (Hist. Gr. ch. 64.) Again, to what act does *ἐναντία ἐψηφισάμην* refer?

It may be well to give the other accounts of this occurrence at length:—

(a) Xen. Mem. I. i. 18, *βουλεύσας γάρ ποτε, . . . ἐπιστάτης ἐν*

p. 32. *νόμους καὶ ἐναντία ἐψηφισάμην, καὶ ἑτοίμων ὄντων*

τῷ δήμῳ γενόμενος, ἐπιθυμήσαντος τοῦ δήμου παρὰ τοὺς νόμους ἐννέα στρατηγοὺς μιᾷ ψήφῳ ἀποκτεῖναι πάντας, οὐκ ἠθέλησεν ἐπιψηφίσαι, ὀργιζομένου μὲν αὐτῷ τοῦ δήμου πολλῶν δὲ καὶ δυνατῶν ἀπειλούντων.

(b) Ib. IV. iv. 2, *ἐπιστάτης γενόμενος οὐκ ἐπέτρεψε τῷ δήμῳ παρὰ τοὺς νόμους ψηφίζεσθαι, ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου κ.τ.λ.*

(c) Xen. Hell. I. vii. 9–15, *ἐντεῦθεν ἐκκλησίαν ἐποίουν, εἰς ἣν ἡ βουλὴ εἰσήνεγκε τὴν ἑαυτῆς γνώμην, Καλλιξένου εἰπόντος, τήνδε .... τῶν δὲ πρυτάνεων τινῶν οὐ φασκόντων προθήσειν τὴν διαψήφισιν παρὰ τοὺς νόμους, αὖθις Καλλίξενος ἀναβὰς κατηγόρει αὐτῶν τὰ αὐτά. οἱ δὲ ἐβόων καλεῖν τοὺς οὐ φάσκοντας. οἱ δὲ πρυτάνεις φοβηθέντες ὡμολόγουν πάντες προθήσειν, πλὴν Σωκράτους τοῦ Σωφρονίσκου· οὗτος δ' οὐκ ἔφη, ἀλλ' ἢ κατὰ νόμον ποιήσειν.*

(d) Axiochus, 368 d..... *οἱ πρώην δέκα στρατηγοί· ὅτ' ἐγὼ μὲν οὐκ ἐπηρόμην τὴν γνώμην· οὐ γὰρ ἐφαίνετό μοι σεμνὸν μαινομένῳ δήμῳ συνεξάρχειν· οἱ δὲ περὶ Θηραμένην καὶ Καλλίξενον τῇ ὑστεραίᾳ προέδρους ἐγκαθέτους ὑφέντες κατεχειροτόνησαν τῶν ἀνδρῶν ἄκριτον θάνατον.* The word *ἐγκάθετοι* is explained by Æsch. iii. 3. p. 54, *καὶ ταῦτα ἕτεροί τινες τὰ ψηφίσματα ἐπιψηφίζουσιν, οὐκ ἐκ τοῦ δικαιοτάτου τρόπου λαχόντες προεδρεύειν, ἀλλ' ἐκ παρασκευῆς καθεζόμενοι.*

(e) Gorg. 474 a, *πέρυσι βουλεύειν λαχών, ἐπειδὴ ἡ φυλὴ ἐπρυτάνευε καὶ ἔδει με ἐπιψηφίζειν, γέλωτα παρεῖχον καὶ οὐκ ἠπιστάμην ἐπιψηφίζειν.* For this, as Luzac aptly remarks, is the historical fact before us disguised by Socratic irony.

That Socrates was Epistates is at least a probable conclusion from (a), (b), and (d), to say nothing of (e); in further support of which, (b) and (d) imply that he carried his point, which he could not have done but as Epistates.

The reference of *ἠναντιώθην* must therefore be to Socrates' refusal to put the question, which resulted, as (d) credibly relates, in the adjournment of proceedings to the next day, when a more pliable Epistates presided.

The other clause, *ἐναντία ἐψηφ.*, is, equally with *ἠναντιώθην*, in connection with *μόνος τῶν πρυτάνεων*· the structure of the sentence points to this inevitably. Now against referring this to the eventual voting in the assembly is (1) the unlikelihood that Socrates should be the only one of the prytanes who voted in the minority, when several of them had come to see that the bill was illegal. And (2) what if he had been the only one? it was no marked distinction: the minority was large, and he and the rest of the prytanes would merely vote as individuals. So likewise to refer it to the stages immediately preceding that final voting, would be in contradiction with the mention made in the accounts of the opposition of others beside Socrates. To refer it, again, to the debate on the bill in the council, before it was adopted as a

ἐνδεικνύναι με καὶ ἀπάγειν τῶν ῥητόρων, καὶ ὑμῶν p. 32.

προβούλευμα, would be to lay the scene of it too far from that of *ἠναντιώθην ὑμῖν* with which it is coupled, and would make *μόνος τῶν πρυτάνεων* flat, since the *πρυτάνεις* had no prominent functions in the council. The remaining alternative, and this is in itself a plausible one, is to refer it to the first stage of proceedings in the assembly, where, preparatorily to the *προβούλευμα* being read out by the *κῆρυξ*, it was handed to the proedri, who with the nomothetæ had to pronounce whether it contravened any existing law. Here was the precise moment at which legal provision had been made for entertaining the very objection taken by Socrates. We may then, with at least some probability, refer *ἐναντία ἐψηφισάμην* to Socrates' condemning the bill as illegal when it was referred in due course to the joint consideration of the proedri and nomothetæ. The hysteron proteron is on Greek principles natural: *ἠναντιώθην—νόμους* precedes, because it, and not the earlier opposition, was the conspicuous and crowning act in Socrates' whole proceeding; Dig. 308.

With Socrates' more glorious refusal to put the question may be compared the conduct contemptuously attributed to Demosthenes by Æschines, ii. 84. p. 40, *ἀναγνωσθέντος τοῦ ψηφίσματος, ἀναστὰς ἐκ τῶν προέδρων Δημοσθένης οὐκ ἔφη τὸ ψήφισμα ἐπιψηφιεῖν· βοώντων δὲ ὑμῶν καὶ τοὺς προέδρους ἐπὶ τὸ βῆμα κατ' ὄνομα καλούντων, οὕτως ἄκοντος αὐτοῦ τὸ ψήφισμα ἐπεψηφίσθη.*

The series of checks which the forms of the Ecclesia imposed on bills in progress, with a view to guard existing laws, was as follows:—1. The *προβούλευμα* was handed to the proedri, who after conferring with the nomothetæ pronounced whether or not it contravened existing laws; and, if they passed it, it was read out by the *κῆρυξ*. 2. After this, it was open to any citizen to stop it by lodging an *ὑπωμοσία* in earnest of his intention to bring against its author a *γραφὴ παρανόμων*. 3. Or the Epistates might refuse to put the question—under liability, of course, to *ἔνδειξις* if he refused improperly. 4. Or the rest of the proedri (by a majority, we may suppose,) might in like manner refuse their consent. See Æsch. ii. 65, iii. 39. pp. 36, 59.—Schömann de Com. Ath. ch. xi.

1. *ἐνδεικνύναι καὶ ἀπάγειν*] 'To procure my suspension or arrest.' The processes of *ἔνδειξις* and *ἀπαγωγὴ* are often mentioned in conjunction, as here, and Dem. c. Timocr. 146. p. 745, Lept. 156. p. 594, Antipho v. 8, 9. p. 130, &c., and in the *βουλευτικὸς ὅρκος* as it stood after the amnesty. Amid several divergent accounts of these processes, the best is Heffter's (Ath. Gerichtsverf. p. 195). *Ἔνδειξις* might be instituted, among other cases, against any who should hold an office while he owed public money; or (a luculent

p. 32. κελευόντων καὶ βοώντων, μετὰ τοῦ νόμου καὶ τοῦ
c δικαίου ᾤμην μᾶλλόν με δεῖν διακινδυνεύειν ἢ μεθ'
ὑμῶν γενέσθαι μὴ δίκαια βουλευομένων, φοβηθέντα
δεσμὸν ἢ θάνατον. καὶ ταῦτα μὲν ἦν ἔτι δημοκρα-
τουμένης τῆς πόλεως· ἐπειδὴ δὲ ὀλιγαρχία ἐγένετο, 5
οἱ τριάκοντα αὖ μεταπεμψάμενοί με πέμπτον αὐτὸν
εἰς τὴν θόλον προσέταξαν ἀγαγεῖν ἐκ Σαλαμῖνος
Λέοντα τὸν Σαλαμίνιον, ἵν' ἀποθάνοι· οἷα δὴ καὶ
ἄλλοις ἐκεῖνοι πολλοῖς πολλὰ προσέταττον, βουλό-
μενοι ὡς πλείστους ἀναπλῆσαι αἰτιῶν· τότε μέντοι 10
d ἐγὼ οὐ λόγῳ ἀλλ' ἔργῳ αὖ ἐνεδειξάμην, ὅτι ἐμοὶ

instance) against any prytanis or proedrus who in discharge of his function in an assembly of the people should depart from the form of proceeding prescribed by law (Dem. c. Timocr. 22. p. 707). In the latter case, offenders were liable to a fine, *and* to ἔνδειξις, which ἔνδειξις was not only an expedient for levying the fine, but had the immediate effect of suspending them from office until the fine was paid. The thesmothetæ had exclusive cognisance of ἔνδειξις. The statement of Pollux, that it pertained to the archon Basileus, is unsupported; likewise his definition of ἔνδειξις, on which some writers rely,—that it was ὁμολογουμένου ἀδικήματος, οὐ κρίσεως ἀλλὰ τιμωρίας δεομένου,—is called by Heffter 'a mere jingle of words.' Ἀπαγωγὴ was of wider application than ἔνδειξις. Moreover, its object was the bringing the offender into custody, which in ἔνδειξις was not the rule. ἔνδειξις was an interdictory procedure, ἀπαγωγὴ a procedure of summary arrest. To be liable to it, a person must be taken ἐπ' αὐτοφώρῳ, in perpetration of an illicit act. The body which had cognisance in ἀπαγωγὴ was the Eleven, who registered (Heffter p. 210) the apprehension of the criminal and the cause of arrest (Lys. xiii. 86. p. 138), and who further, supposing the arrested person to be already under sentence of law, had charge of the execution of this sentence.

7. θόλον] The building where the prytanes, and while they lasted the Thirty, daily banqueted and sacrificed. It was near the council-chamber.

10. ἀναπλῆσαι] This word, like implere in Latin, is used idiomatically of communicating pollution; whence here 'implicate.' See for example Phædo 67 a; and cf. especially with the present passage Antipho, ii. A. a. 10. p. 116, συγκαταπιμπλάναι τοὺς ἀναιτίους.

θανάτου μὲν μέλει, εἰ μὴ ἀγροικότερον ἦν εἰπεῖν, οὐδ' p. 32.
ὁτιοῦν, τοῦ δὲ μηδὲν ἄδικον μηδ' ἀνόσιον ἐργάζεσθαι,
τούτου δὲ τὸ πᾶν μέλει. ἐμὲ γὰρ ἐκείνη ἡ ἀρχὴ οὐκ
ἐξέπληξεν οὕτως ἰσχυρὰ οὖσα, ὥστε ἄδικόν τι ἐργά-
σασθαι, ἀλλ' ἐπειδὴ ἐκ τῆς θόλου ἐξήλθομεν, οἱ μὲν
τέτταρες ᾤχοντο εἰς Σαλαμῖνα καὶ ἤγαγον Λέοντα,
ἐγὼ δὲ ᾠχόμην ἀπιὼν οἴκαδε. καὶ ἴσως ἂν διὰ ταῦτ' e
ἀπέθανον, εἰ μὴ ἡ ἀρχὴ διὰ ταχέων κατελύθη· καὶ
τούτων ὑμῖν ἔσονται πολλοὶ μάρτυρες.

d. (In answer to a supposed objection) that the innocent tendency of the reformatory doctrine, which was simply to teach uncompromising adherence to righteousness, and not to train for professions or impart knowledge, excluded the suspicion of perverting the youth,

XXI. Ἆρ' οὖν ἄν με οἴεσθε τοσάδε ἔτη διαγε-
νέσθαι, εἰ ἔπραττον τὰ δημόσια, καὶ πράττων ἀξίως
ἀνδρὸς ἀγαθοῦ ἐβοήθουν τοῖς δικαίοις καί, ὥσπερ
χρή, τοῦτο περὶ πλείστου ἐποιούμην; πολλοῦ γε δεῖ,
ὦ ἄνδρες Ἀθηναῖοι. οὐδὲ γὰρ ἂν ἄλλος ἀνθρώπων
οὐδείς. ἀλλ' ἐγὼ διὰ παντὸς τοῦ βίου δημοσίᾳ τε, εἴ p. 33.
που τι ἔπραξα, τοιοῦτος φανοῦμαι, καὶ ἰδίᾳ ὁ αὐτὸς
οὗτος, οὐδενὶ πώποτε ξυγχωρήσας οὐδὲν παρὰ τὸ
δίκαιον οὔτε ἄλλῳ οὔτε τούτων οὐδενί, οὓς οἱ δια-
βάλλοντές μέ φασιν ἐμοὺς μαθητὰς εἶναι. ἐγὼ δὲ
διδάσκαλος μὲν οὐδενὸς πώποτ' ἐγενόμην· εἴ δέ τίς
μου λέγοντος καὶ τὰ ἑαυτοῦ πράττοντος ἐπιθυμεῖ
ἀκούειν, εἴτε νεώτερος εἴτε πρεσβύτερος, οὐδενὶ
πώποτε ἐφθόνησα, οὐδὲ χρήματα μὲν λαμβάνων b

9. ὑμῖν] So MSS. and edd. generally. ὑμῶν is a conjecture of H.

9. μάρτυρες] The μαρτυρίαι are supposed to follow here. Introd. p. x.

20. διδάσκαλος οὐδενὸς] He means (see b below) that he imparted no μάθημα,—no professional knowledge; even of καλοκαγαθία he never ὑπέσχετο διδάσκαλος εἶναι Xen. Mem. I. ii. 3. Cf. his declining ἐπιμελεῖσθαι Nicias' son, Laches 208 d. What he sought to impart was rather a habit of mind; "not to dispense ready-made truth like so much coin, but to awaken the sense of truth and virtue; not to force his own convictions on others, but test theirs."—Zeller.

p. 33. διαλέγομαι μὴ λαμβάνων δ' οὔ, ἀλλ' ὁμοίως καὶ πλουσίῳ καὶ πένητι παρέχω ἐμαυτὸν ἐρωτᾶν, καὶ ἐάν τις βούληται ἀποκρινόμενος ἀκούειν ὧν ἂν λέγω. καὶ τούτων ἐγὼ εἴτε τις χρηστὸς γίγνεται εἴτε μή, οὐκ ἂν δικαίως τὴν αἰτίαν ὑπέχοιμι, ὧν μήτε ὑπεσχόμην μηδενὶ μηδὲν πώποτε μάθημα μήτε ἐδίδαξα· εἰ δέ τίς φησι παρ' ἐμοῦ πώποτέ τι μαθεῖν ἢ ἀκοῦσαι ἰδίᾳ ὅ τι μὴ καὶ οἱ ἄλλοι πάντες, εὖ ἴστε ὅτι οὐκ ἀληθῆ λέγει.

XXII. Ἀλλὰ διὰ τί δή ποτε μετ' ἐμοῦ χαίρουσί τινες πολὺν χρόνον διατρίβοντες; ἀκηκόατε, ὦ ἄνδρες Ἀθηναῖοι· πᾶσαν ὑμῖν τὴν ἀλήθειαν ἐγὼ εἶπον· ὅτι ἀκούοντες χαίρουσιν ἐξεταζομένοις τοῖς οἰομένοις μὲν εἶναι σοφοῖς, οὖσι δ' οὔ· ἔστι γὰρ οὐκ ἀηδές. ἐμοὶ δὲ τοῦτο, ὡς ἐγώ φημι, προστέτακται ὑπὸ τοῦ θεοῦ πράττειν καὶ ἐκ μαντείων καὶ ἐξ ἐνυπνίων καὶ παντὶ τρόπῳ, ᾧπερ τίς ποτε καὶ ἄλλη θεία μοῖρα ἀνθρώπῳ καὶ ὁτιοῦν προσέταξε πράττειν. ταῦτα, ὦ Ἀθηναῖοι, καὶ ἀληθῆ ἐστὶ καὶ εὐέλεγκτα. εἰ γὰρ δὴ ἔγωγε τῶν νέων τοὺς μὲν διαφθείρω, τοὺς δὲ διέφθαρκα, χρῆν δήπου, εἴτε τινὲς αὐτῶν πρεσβύτεροι γενόμενοι ἔγνωσαν ὅτι νέοις οὖσιν αὐτοῖς ἐγὼ κακὸν πώποτέ τι ξυνεβούλευσα, νυνὶ αὐτοὺς ἀναβαίνοντας ἐμοῦ κατηγορεῖν καὶ τιμωρεῖσθαι· εἰ δὲ μὴ αὐτοὶ ἤθελον, τῶν οἰκείων τινὰς τῶν ἐκείνων, πατέρας καὶ ἀδελφοὺς καὶ ἄλλους τοὺς προσήκοντας, εἴπερ ὑπ'

—a suspicion which was also refuted independently.

11. εἶπον·] So Stallbaum, rightly. εἶπον, Hermann. See Commentary.

2. καὶ ἐάν τις] This is a soft way of saying, 'And I am ready to question him, if he chooses.'

12. ὅτι ἀκούοντες] Stallb. rightly joins this with ἀλλὰ διὰ τί—διατρίβοντες; the ἀκηκόατε—εἶπον· being interjected. Then ὅτι is 'because.' See the examples which Stallb. quotes—Euthyphro 3 b, Rep. I. 332 a, III. 402 e, 410 d.

ἐμοῦ τι κακὸν ἐπεπόνθεσαν αὐτῶν οἱ οἰκεῖοι, νῦν μεμ- p. 33.
νῆσθαι καὶ τιμωρεῖσθαι. πάντως δὲ πάρεισιν αὐτῶν
πολλοὶ ἐνταυθοῖ, οὓς ἐγὼ ὁρῶ, πρῶτον μὲν Κρίτων
οὑτοσί, ἐμὸς ἡλικιώτης καὶ δημότης, Κριτοβούλου e
τοῦδε πατήρ· ἔπειτα Λυσανίας ὁ Σφήττιος, Αἰσχίνου
τοῦδε πατήρ· ἔτι Ἀντιφῶν ὁ Κηφισιεὺς οὑτοσί,
Ἐπιγένους πατήρ· ἄλλοι τοίνυν οὗτοι, ὧν οἱ ἀδελφοὶ
ἐν ταύτῃ τῇ διατριβῇ γεγόνασι, Νικόστρατος, ὁ Θεο-
ζοτίδου, ἀδελφὸς Θεοδότου—καὶ ὁ μὲν Θεόδοτος

2. καὶ τιμωρεῖσθαι] BS om.; VZ retain; H brackets. The likelihood is not great that the words have been inserted from the end of the former sentence (H brackets them *there*, by mistake); the rhythm almost requires them; and there is point in attributing the same vindictive feeling to the kinsmen as to the youths themselves. The repetition is like Brutus' repetition of 'for him have I offended,' in Shakespeare's Jul. Cæs. Act III. Scene ii.

4. Κριτοβούλου &c.] With Critobulus Socrates holds conversation in Xen. Mem. I. iii, II. vi. He is mentioned also in Athen. V. 220 a, with Æschines, distinguished from others of the name as ὁ Σωκρατικός, the son of Lysanias (see Diog. Laert. II. 60), who afterwards became a teacher for money of the Socratic doctrines, and wrote Socratic dialogues (Schol. in Menex.). He was at variance with Aristippus (Luzac de Dig. Soc. sect. II. § 2), and there is a fragment of an invective written against him by Lysias, illustrating the enmity of the Orators against the Socratists: he is of the company named in the Phædo (59 b). Epigenes is mentioned Xen. Mem. III. xii. 1, and Phædo 59 b: his father Antipho is not otherwise known. Demodocus, the father of Paralus and Theages, is an interlocutor in the Theages. Of Theages it is said, Rep. 496 b, εἴη δ' ἂν καὶ ὁ τοῦ ἡμετέρου ἑταίρου Θεάγους χαλινὸς οἷος κατασχεῖν· καὶ γὰρ Θεάγει τὰ μὲν ἄλλα πάντα παρεσκεύασται πρὸς τὸ ἐκπεσεῖν φιλοσοφίας, ἡ δὲ τοῦ σώματος νοσοτροφία ἀπείργουσα αὐτὸν τῶν πολιτικῶν κατέχει. Adimantus is an interlocutor in the Rep. (357–368, 548). Apollodorus appears in the Phædo (59 a, 117 d) as passionately attached to Socrates, and in the Symp. says of himself (172 e), ἐγὼ Σωκράτει συνδιατρίβω καὶ ἐπιμελὲς πεποίημαι ἑκάστης ἡμέρας εἰδέναι ὅ τι ἂν λέγῃ ἢ πράττῃ, and is said (173 d) to have got τὴν ἐπωνυμίαν τὸ μανικὸς καλεῖσθαι. Nicostratus, Theodotus, Paralus, and Æantodorus are only mentioned here.

p. 33. τετελεύτηκεν, ὥστε οὐκ ἂν ἐκεῖνός γε αὐτοῦ κατα-
p. 34. δεηθείη—, καὶ Πάραλος ὅδε, ὁ Δημοδόκου, οὗ ἦν Θεάγης ἀδελφός· ὅδε δὲ Ἀδείμαντος, ὁ Ἀρίστωνος, οὗ ἀδελφὸς οὑτοσὶ Πλάτων, καὶ Αἰαντόδωρος, οὗ Ἀπολλόδωρος ὅδε ἀδελφός. καὶ ἄλλους πολλοὺς ἐγὼ ἔχω ὑμῖν εἰπεῖν, ὧν τινὰ ἐχρῆν μάλιστα μὲν ἐν τῷ ἑαυτοῦ λόγῳ παρασχέσθαι Μέλητον μάρτυρα· εἰ δὲ τότε ἐπελάθετο, νῦν παρασχέσθω, ἐγὼ παραχωρῶ, καὶ λεγέτω, εἴ τι ἔχει τοιοῦτον. ἀλλὰ τούτου πᾶν τοὐναντίον εὑρήσετε, ὦ ἄνδρες, πάντας ἐμοὶ βοηθεῖν ἑτοίμους τῷ διαφθείροντι, τῷ κακὰ ἐργαζο-
b μένῳ τοὺς οἰκείους αὐτῶν, ὥς φασι Μέλητος καὶ Ἄνυτος. αὐτοὶ μὲν γὰρ οἱ διεφθαρμένοι τάχ' ἂν λόγον ἔχοιεν βοηθοῦντες· οἱ δὲ ἀδιάφθαρτοι, πρεσβύτεροι ἤδη ἄνδρες, οἱ τούτων προσήκοντες, τίνα ἄλλον ἔχουσι λόγον βοηθοῦντες ἐμοὶ ἀλλ' ἢ τὸν ὀρθόν τε καὶ δίκαιον, ὅτι ξυνίσασι Μελήτῳ μὲν ψευδομένῳ, ἐμοὶ δὲ ἀληθεύοντι;

Conclusion;—reason for not entreating the mercy of the court.

XXIII. Εἶεν δή, ὦ ἄνδρες· ἃ μὲν ἐγὼ ἔχοιμ' ἂν ἀπολογεῖσθαι, σχεδόν ἐστι ταῦτα καὶ ἄλλα ἴσως
c τοιαῦτα. τάχα δ' ἄν τις ὑμῶν ἀγανακτήσειεν ἀναμνησθεὶς ἑαυτοῦ, εἰ ὁ μὲν καὶ ἐλάττω τουτουὶ τοῦ ἀγῶνος ἀγῶνα ἀγωνιζόμενος ἐδεήθη τε καὶ ἱκέτευσε τοὺς δικαστὰς μετὰ πολλῶν δακρύων, παιδία τε αὐτοῦ ἀναβιβασάμενος, ἵνα ὅ τι μάλιστα ἐλεηθείη, καὶ ἄλλους τῶν οἰκείων καὶ φίλων πολλούς, ἐγὼ δὲ

1. *καταδεηθείη*] The *κατα-* implies absence of all reserve or modification: here in a bad sense it expresses an unprincipled act. Dig. 122.

8. *ἐγὼ παραχωρῶ*] The full expression occurs Æschin. iii. 165. p. 77, *παραχωρῶ σοι τοῦ βήματος, ἕως ἂν εἴπῃς.* Note by the way, that the examination of witnesses was extra to the time allowed for the pleadings; cf. Lysias xxiii. 4, 8. pp. 166, 167, *καί μοι ἐπίλαβε τὸ ὕδωρ.*

26. *ἐγὼ δὲ ἄρα*] 'And then finds that I.'

οὐδὲν ἄρα τούτων ποιήσω, καὶ ταῦτα κινδυνεύων, p. 34.
ὡς ἂν δόξαιμι, τὸν ἔσχατον κίνδυνον. τάχ' οὖν τις
ταῦτα ἐννοήσας αὐθαδέστερον ἂν πρός με σχοίη,
καὶ ὀργισθεὶς αὐτοῖς τούτοις θεῖτο ἂν μετ' ὀργῆς
τὴν ψῆφον. εἰ δή τις ὑμῶν οὕτως ἔχει,—οὐκ ἀξιῶ d
μὲν γὰρ ἔγωγε· εἰ δ' οὖν, ἐπιεικῆ ἄν μοι δοκῶ πρὸς
τοῦτον λέγειν λέγων ὅτι ἐμοί, ὦ ἄριστε, εἰσὶ μέν
πού τινες καὶ οἰκεῖοι· καὶ γὰρ τοῦτο αὐτὸ τὸ τοῦ
Ὁμήρου, οὐδ' ἐγὼ ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης πέ-
φυκα, ἀλλ' ἐξ ἀνθρώπων, ὥστε καὶ οἰκεῖοί μοί εἰσι
καὶ υἱεῖς, ὦ ἄνδρες Ἀθηναῖοι, τρεῖς, εἷς μὲν μειράκιον
ἤδη, δύο δὲ παιδία· ἀλλ' ὅμως οὐδέν' αὐτῶν δεῦρο
ἀναβιβασάμενος δεήσομαι ὑμῶν ἀποψηφίσασθαι. τί
δὴ οὖν οὐδὲν τούτων ποιήσω; οὐκ αὐθαδιζόμενος, e
ὦ ἄνδρες Ἀθηναῖοι, οὐδ' ὑμᾶς ἀτιμάζων, ἀλλ' εἰ μὲν
θαρραλέως ἐγὼ ἔχω πρὸς θάνατον ἢ μή, ἄλλος
λόγος, πρὸς δ' οὖν δόξαν καὶ ἐμοὶ καὶ ὑμῖν καὶ ὅλῃ
τῇ πόλει οὔ μοι δοκεῖ καλὸν εἶναι ἐμὲ τούτων οὐδὲν
ποιεῖν καὶ τηλικόνδε ὄντα καὶ τοῦτο τοὔνομα ἔχοντα,
εἴτ' οὖν ἀληθὲς εἴτ' οὖν ψεῦδος· ἀλλ' οὖν δεδογμένον
γέ ἐστι τῷ Σωκράτει διαφέρειν τινὶ τῶν πολλῶν

21. τῷ Σωκράτει] VBS τὸν Σωκράτη, ZH τὸ Σωκράτη, both with some MS. authority. The last is worst; for such an emphatic use of the name Socrates palpably requires the article. And

2. ὡς ἂν δόξαιμι] Refers to κίνδυνον, not to ἔσχατον·—'danger, as *he* would think it.'

5. οὐκ ἀξιῶ μὲν γὰρ] γὰρ refers to εἰ·—['I say *if*,] for though I do not expect it of you, yet [making the supposition,] *if* it should be so.'

6. ἐπιεικῆ] 'Conciliatory.'

9. Ὁμήρου] Odyss. xix. 163.

11. εἷς μὲν] Lamprocles (Xen. Mem. II. ii. 1). δύο· Sophroniscus and Menexenus (Phædo 116 b).

15. εἰ μὲν] 'Whether I can look death in the face or not.' —Whewell.

19. τοὔνομα] The name of σοφός· cf. 20 d, and below, εἴτε σοφίᾳ εἴτε κ.τ.λ.

p. 35. ἀνθρώπων. εἰ οὖν ὑμῶν οἱ δοκοῦντες διαφέρειν εἴτε σοφίᾳ εἴτε ἀνδρείᾳ εἴτε ἄλλῃ ἠτινιοῦν ἀρετῇ τοιοῦτοι ἔσονται, αἰσχρὸν ἂν εἴη· οἷουσπερ ἐγὼ πολλάκις ἑώρακά τινας, ὅταν κρίνωνται, δοκοῦντας μέν τι εἶναι, θαυμάσια δὲ ἐργαζομένους, ὡς δεινόν τι οἰομένους πείσεσθαι εἰ ἀποθανοῦνται, ὥσπερ ἀθανάτων ἐσομένων, ἐὰν ὑμεῖς αὐτοὺς μὴ ἀποκτείνητε· οἳ ἐμοὶ δοκοῦσιν αἰσχύνην τῇ πόλει περιάπτειν, ὥστ' ἄν τινα καὶ
b τῶν ξένων ὑπολαβεῖν ὅτι οἱ διαφέροντες Ἀθηναίων εἰς ἀρετήν, οὓς αὐτοὶ ἑαυτῶν ἔν τε ταῖς ἀρχαῖς καὶ ταῖς ἄλλαις τιμαῖς προκρίνουσιν, οὗτοι γυναικῶν οὐδὲν διαφέρουσι. ταῦτα γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, οὔτε ὑμᾶς χρὴ ποιεῖν τοὺς δοκοῦντας καὶ ὁτιοῦν εἶναι, οὔτ', ἂν ἡμεῖς ποιῶμεν, ὑμᾶς ἐπιτρέπειν, ἀλλὰ τοῦτο αὐτὸ ἐνδείκνυσθαι, ὅτι πολὺ μᾶλλον καταψη-

against both this and τὸν Σωκράτη stands the consideration, that the meaning would be 'people have made up their minds that Socrates *is to* differ;' it is the form of a resolution which *is to* take effect; whereas the meaning required is 'they have made up their minds that Socrates differs' now. τῷ Σωκράτει leaves this clear. It is the reading of Oxon. and three other MSS.; and in accepting it we follow Bernhardy (Syntax. p. 94), who supports it with parallels. See Dig. 183.

2. ἀνδρείᾳ] Oxon. here has ἀνδρίᾳ, but is not consistent. Dindorf (on Ar. Nub. 510) says ἀνδρεία alone is the true form, —as proved (1) by the Ionic diæresis ἀνδρηΐη· (2) by the fact that in poetry it never occurs where the metre would require ἀνδρία (except in Eur. Herc. F. 475, πατὴρ ἐπύργου, μέγα φρονῶν ἐπ' ἀνδρίᾳ, which Elmsley has emended εὐανδρίᾳ); (3) by the testimony of Etym. M. p. 461. 53, that the traditional orthography was ἀνδρεία till Apollonius invented ἀνδρία· (4) by the preponderating adherence of the MSS. to ἀνδρεία. 13. οὔτε ὑμᾶς] VH ὑμᾶς, BSZ (following 2 MSS.) ἡμᾶς. H says "ὑμᾶς commodum sensum præbet; nec plebem, modo aliquo loco haberi velit, facere, nec si singuli faciant, permittere debere."

3. ἔσονται] 'If we are to have such conduct on the part of those,' &c. εἶεν would have given a different turn to the meaning.

φιεῖσθε τοῦ τὰ ἐλεεινὰ ταῦτα δράματα εἰσάγοντος p. 35.
καὶ καταγέλαστον τὴν πόλιν ποιοῦντος ἢ τοῦ ἡσυ-
χίαν ἄγοντος.

XXIV. Χωρὶς δὲ τῆς δόξης, ὦ ἄνδρες, οὐδὲ
δίκαιόν μοι δοκεῖ εἶναι δεῖσθαι τοῦ δικαστοῦ οὐδὲ c
δεόμενον ἀποφεύγειν, ἀλλὰ διδάσκειν καὶ πείθειν.
οὐ γὰρ ἐπὶ τούτῳ κάθηται ὁ δικαστής, ἐπὶ τῷ κατα-
χαρίζεσθαι τὰ δίκαια, ἀλλ' ἐπὶ τῷ κρίνειν ταῦτα·
καὶ ὀμώμοκεν οὐ χαριεῖσθαι οἷς ἂν δοκῇ αὐτῷ, ἀλλὰ
δικάσειν κατὰ τοὺς νόμους. οὔκουν χρὴ οὔτε ἡμᾶς
ἐθίζειν ὑμᾶς ἐπιορκεῖν, οὔθ' ὑμᾶς ἐθίζεσθαι· οὐδέ-
τεροι γὰρ ἂν ἡμῶν εὐσεβοῖεν. μὴ οὖν ἀξιοῦτέ με,
ὦ ἄνδρες Ἀθηναῖοι, τοιαῦτα δεῖν πρὸς ὑμᾶς πράττειν,
ἃ μήτε ἡγοῦμαι καλὰ εἶναι μήτε δίκαια μήτε ὅσια,
ἄλλως τε μέντοι νὴ Δία πάντως καὶ ἀσεβείας φεύ- d
γοντα ὑπὸ Μελήτου τουτουί. σαφῶς γὰρ ἄν, εἰ
πείθοιμι ὑμᾶς καὶ τῷ δεῖσθαι βιαζοίμην ὀμωμοκότας,
θεοὺς ἂν διδάσκοιμι μὴ ἡγεῖσθαι ὑμᾶς εἶναι, καὶ
ἀτεχνῶς ἀπολογούμενος κατηγοροίην ἂν ἐμαυτοῦ ὡς

9. ὀμώμοκεν] Part of the judge's oath was ἢ μὴν ὁμοίως ἀκροάσεσθαι τῶν κατηγορούντων καὶ τῶν ἀπολογουμένων· Isocr. xv. 21. p. 314.

χαριεῖσθαι] 'That he will favour whomsoever he feels inclined to favour.'

10. ἡμᾶς] Defendants in general.

11. ἐθίζεσθαι] 'Allow yourselves to be habituated;' an instance of the semi-middle sense. Dig. 88.

15. ἄλλως—καὶ] 'But, by Zeus, especially, when I am on my trial at Meletus' instance for impiety.' A remarkable hyperbaton. The phrase ἄλλως τε πάντως καὶ is rent asunder to admit the μέντοι νὴ Δία (which is also a familiar sequence, Phædo 65 d, 68 b, 73 d, Rep. 332 a), which could have found no other convenient place. What makes such a tmesis possible, without prejudice to perspicuity, is the very fact that ἄλλως τε πάντως καὶ is a sufficiently familiar phrase to admit of this dismemberment and yet be recognised: Dig. 294. Thus Bekker, in reading arbitrarily ἄλλως τε πάντως νὴ Δία μάλιστα μέντοι καὶ, is wide of the mark.

p. 35. θεοὺς οὐ νομίζω. ἀλλὰ πολλοῦ δεῖ οὕτως ἔχειν· νομίζω τε γάρ, ὦ ἄνδρες Ἀθηναῖοι, ὡς οὐδεὶς τῶν ἐμῶν κατηγόρων, καὶ ὑμῖν ἐπιτρέπω καὶ τῷ θεῷ κρῖναι περὶ ἐμοῦ ὅπῃ μέλλει ἐμοί τε ἄριστα εἶναι καὶ ὑμῖν.

---

e XXV. Τὸ μὲν μὴ ἀγανακτεῖν, ὦ ἄνδρες Ἀθη- B. The Counter-assessment of the Penalty.
p. 36. ναῖοι, ἐπὶ τούτῳ τῷ γεγονότι, ὅτι μου κατεψηφίσασθε, ἄλλα τέ μοι πολλὰ ξυμβάλλεται, καὶ οὐκ ἀνέλπιστόν μοι γέγονε τὸ γεγονὸς τοῦτο, ἀλλὰ πολὺ μᾶλλον θαυμάζω ἑκατέρων τῶν ψήφων τὸν γεγονότα ἀριθμόν. οὐ γὰρ ᾤμην ἔγωγε οὕτω παρ' ὀλίγον ἔσεσθαι, ἀλλὰ παρὰ πολύ· νῦν δέ, ὡς ἔοικεν, εἰ τριάκοντα

12. τριάκοντα] So ZH; τρεῖς VBS. Of MSS., Oxon. with five others has τριάκοντα· which also approves itself independently.

5. καὶ ὑμῖν] The defence of Socrates, which would occupy the second division of the pleadings, being thus concluded, there would follow here the voting of the judges, and the announcement of their verdict, declaring the charge proven. Then would begin the third division of the pleadings, consisting firstly of a speech on the side of the prosecution in advocacy of the penalty named, and secondly of Socrates' ἀντιτίμησις, where the Apology again takes up the thread. Introd. pp. vi, xi, xvii.

8. καὶ οὐκ—τοῦτο] The halting connection (grammatically speaking) between this clause and the preceding part of the sentence is idiomatic. The shortest way is taken to arrive at the particular which is the point of the sentence: Dig. 258. It is incorrect to supply, as Stallbaum does, καὶ [δὴ καὶ τοῦτο ὅτι] οὐκ, κ.τ.λ. Rather there is a substitution of a shorter form of expression, complete in itself, but not agreeing with the plan on which the sentence set out.

11. οὕτω παρ' ὀλίγον] Hyperbatical for παρ' οὕτως ὀλίγον· Dig. 298. Lit. 'up to so little' difference from the other quantity compared: i. e. 'so close.' Dig. 124.

12. τριάκοντα] The number of condemning votes was 281, out of a court of 501: so 30 in round numbers, or 31 exactly, changing sides, would have effected an acquittal. See, for the fuller discussion of this point, Introd. p. iv.

μόναι μετέπεσον τῶν ψήφων, ἀποπεφεύγη ἄν. Μέ- p. 36.
λητον μὲν οὖν, ὡς ἐμοὶ δοκῶ, καὶ νῦν ἀποπέφευγα,
καὶ οὐ μόνον ἀποπέφευγα, ἀλλὰ παντὶ δῆλον τοῦτό
γε, ὅτι, εἰ μὴ ἀνέβη Ἄνυτος καὶ Λύκων κατηγορή-
σοντες ἐμοῦ, κἂν ὤφλε χιλίας δραχμάς, οὐ μεταλα- b
βὼν τὸ πέμπτον μέρος τῶν ψήφων.

a. Proposal on the footing of full justice, —ironical.

XXVI. Τιμᾶται δ' οὖν μοι ὁ ἀνὴρ θανάτου.
εἶεν· ἐγὼ δὲ δὴ τίνος ὑμῖν ἀντιτιμήσομαι, ὦ ἄνδρες
Ἀθηναῖοι; ἢ δῆλον ὅτι τῆς ἀξίας; τί οὖν; τί ἄξιός
εἰμι παθεῖν ἢ ἀποτῖσαι, ὅ τι μαθὼν ἐν τῷ βίῳ οὐχ
ἡσυχίαν ἦγον, ἀλλ' ἀμελήσας ὧνπερ οἱ πολλοί,
χρηματισμοῦ τε καὶ οἰκονομίας καὶ στρατηγιῶν καὶ
δημηγοριῶν καὶ τῶν ἄλλων ἀρχῶν καὶ ξυνωμοσιῶν

The implication in *μόναι* that the majority was small would recommend the corruption of *τριάκοντα* into *τρεῖς*. In Andoc. iii. 4. p. 23, *πεντήκοντα* is a necessary emendation for *πέντε*. Cf. Taylor, Lect. Lys. cap. vi.

2. *ἀποπέφευγα*] Half in jest, in allusion to his accusers being three to one, Socrates represents the majority as obtained by the joint influence of the three: supposing then each accuser represented by one-third of the majority, Meletus gets less than 100, i. e. less than one-fifth of the whole. The indictment stood in Meletus' name, but the really formidable accuser was Anytus: see again Introd. p. ii.

6. *τὸ πέμπτον μ.*] Not 'a fifth,' but 'the' indispensable 'fifth.'

10. *παθεῖν ἢ ἀποτῖσαι*] A technical legal expression; *ἀποτῖσαι* applies to a pecuniary penalty, *παθεῖν* to death, imprisonment, or the like. So Dem. Mid. 47. p. 529, *ὅτου ἂν καταγνῷ ἡ ἡλιαία, τιμάτω περὶ αὐτοῦ παραχρῆμα, ὅτου ἂν δοκῇ ἄξιος εἶναι παθεῖν ἢ ἀποτῖσαι* (part of the *νόμος ὕβρεως*), in Timocrat. 105. p. 733.

ὅ τι μαθών] 'For having taken it into my head, in the disposal of my life, to deny myself rest.' *ἐν* is not 'during.'

13. *ἄλλων*] Here is the idiomatic use of *ἄλλος* for 'besides:' Dig. 46. *ἄλλων* agrees with all three genitives following: 'and what not besides,—magistracies, clubs, and factions.'

ξυνωμοσιῶν] These associations were as rife at Athens under the Thirty as in the Peloponnesian war.

p. 36. καὶ στάσεων τῶν ἐν τῇ πόλει γιγνομένων, ἡγησά-
c μενος ἐμαυτὸν τῷ ὄντι ἐπιεικέστερον εἶναι ἢ ὥστε
εἰς ταῦτ' ἰόντα σώζεσθαι, ἐνταῦθα μὲν οὐκ ἦα, οἷ
ἐλθὼν μήτε ὑμῖν μήτε ἐμαυτῷ ἔμελλον μηδὲν ὄφελος
εἶναι, ἐπὶ δὲ τὸ ἰδίᾳ ἕκαστον ἰὼν εὐεργετεῖν τὴν
μεγίστην εὐεργεσίαν, ὡς ἐγώ φημι, ἐνταῦθα ἦα,
ἐπιχειρῶν ἕκαστον ὑμῶν πείθειν μὴ πρότερον μήτε
τῶν ἑαυτοῦ μηδενὸς ἐπιμελεῖσθαι, πρὶν ἑαυτοῦ ἐπι-
μεληθείη, ὅπως ὡς βέλτιστος καὶ φρονιμώτατος
ἔσοιτο, μήτε τῶν τῆς πόλεως, πρὶν αὐτῆς τῆς πό-
λεως, τῶν τε ἄλλων οὕτω κατὰ τὸν αὐτὸν τρόπον
d ἐπιμελεῖσθαι· τί οὖν εἰμὶ ἄξιος παθεῖν τοιοῦτος ὤν;
ἀγαθόν τι, ὦ ἄνδρες Ἀθηναῖοι, εἰ δεῖ γε κατὰ τὴν
ἀξίαν τῇ ἀληθείᾳ τιμᾶσθαι· καὶ ταῦτά γε ἀγαθὸν
τοιοῦτον, ὅ τι ἂν πρέποι ἐμοί. τί οὖν πρέπει ἀνδρὶ
πένητι εὐεργέτῃ, δεομένῳ ἄγειν σχολὴν ἐπὶ τῇ ὑμε-
τέρᾳ παρακελεύσει; οὐκ ἔστ' ὅ τι μᾶλλον, ὦ ἄνδρες
Ἀθηναῖοι, πρέπει οὕτως, ὡς τὸν τοιοῦτον ἄνδρα ἐν
πρυτανείῳ σιτεῖσθαι, πολύ γε μᾶλλον ἢ εἴ τις ὑμῶν
ἵππῳ ἢ ξυνωρίδι ἢ ζεύγει νενίκηκεν Ὀλυμπίασιν.

5. *ἐπὶ δὲ—εὐεργεσίαν*] This clause is repeated in the word *ἐνταῦθα*, and governed by *ἦα*· and the *ἰὼν* with *εὐεργετεῖν* is a redundancy. (At the same time probably another clause is confusing itself with this in the speaker's mind, to which *ἰὼν* would be essential, namely, *οἷ δὲ ἰδίᾳ ἕκαστον ἔμελλον ἰὼν εὐεργετεῖν*, i.e. *οἷ δὲ ἰὼν ἔμελλον ἰδίᾳ ἕκαστον εὐεργ.*)

14. *τιμᾶσθαι*] 'That I should lay the penalty.'

16. *εὐεργέτῃ*] Stallbaum cites Xen. de Vectig. iii. 11, Lys. xx. 19. p. 159. Add Dem. F. L. 330. p. 446, *τί δέ; δοίητ' ἂν ἐν πρυτανείῳ σίτησιν ἢ ἄλλην τινὰ δωρεάν, αἷς τιμᾶτε τοὺς εὐεργέτας;*

17. *μᾶλλον πρέπει οὕτως ὡς*] This is the form of comparison with *ὡς*, complicated by the redundant insertion of *οὕτως*. Dig. 164.

20. *ζεύγει*] Here this word plainly stands for three or four horses. Hesychius in voc. says *καὶ ἐπὶ τριῶν καὶ τεσσάρων ἔτασσον*.

ὁ μὲν γὰρ ὑμᾶς ποιεῖ εὐδαίμονας δοκεῖν [εἶναι], ἐγὼ p. 36.
δὲ εἶναι· καὶ ὁ μὲν τροφῆς οὐδὲν δεῖται, ἐγὼ δὲ e
δέομαι. εἰ οὖν δεῖ με κατὰ τὸ δίκαιον τῆς ἀξίας τι- p. 37.
μᾶσθαι, τούτου τιμῶμαι, ἐν πρυτανείῳ σιτήσεως.

b. Compromise,—ironical also.

XXVII. Ἴσως οὖν ὑμῖν καὶ ταυτὶ λέγων παραπλησίως δοκῶ λέγειν ὥσπερ περὶ τοῦ οἴκτου καὶ τῆς ἀντιβολήσεως, ἀπαυθαδιζόμενος· τὸ δὲ οὐκ ἔστιν, ὦ Ἀθηναῖοι, τοιοῦτον, ἀλλὰ τοιόνδε μᾶλλον. πέπεισμαι ἐγὼ ἑκὼν εἶναι μηδένα ἀδικεῖν ἀνθρώπων, ἀλλὰ ὑμᾶς τοῦτο οὐ πείθω· ὀλίγον γὰρ χρόνον ἀλλήλοις διειλέγμεθα· ἐπεί, ὡς ἐγῷμαι, εἰ ἦν ὑμῖν νόμος, ὥσπερ καὶ ἄλλοις ἀνθρώποις, περὶ θανάτου μὴ μίαν ἡμέραν b
μόνον κρίνειν, ἀλλὰ πολλάς, ἐπείσθητε ἄν· νῦν δ' οὐ ῥᾴδιον ἐν χρόνῳ ὀλίγῳ μεγάλας διαβολὰς ἀπολύεσθαι. πεπεισμένος δὴ ἐγὼ μηδένα ἀδικεῖν πολλοῦ δέω ἐμαυτόν γε ἀδικήσειν καὶ κατ' ἐμαυτοῦ ἐρεῖν αὐτός, ὡς ἄξιός εἰμί του κακοῦ καὶ τιμήσεσθαι τοιούτου τινὸς ἐμαυτῷ, τί δείσας; ἦ μὴ πάθω τοῦτο, οὗ Μέλητός μοι τιμᾶται, ὃ φημι οὐκ εἰδέναι οὔτ' εἰ ἀγαθὸν οὔτ' εἰ κακόν ἐστιν; ἀντὶ τούτου δὴ ἕλωμαι ὧν εὖ οἶδ' ὅτι κακῶν ὄντων, τούτου τιμησάμενος; πότερον δεσμοῦ; καὶ τί με δεῖ ζῆν ἐν δεσμωτηρίῳ, c
δουλεύοντα τῇ ἀεὶ καθισταμένῃ ἀρχῇ, τοῖς ἕνδεκα; ἀλλὰ χρημάτων, καὶ δεδέσθαι ἕως ἂν ἐκτίσω; ἀλλὰ

12. ἄλλοις ἀνθρώποις] The Lacedæmonians, for instance. See Thucyd. i. 132.

21. ὧν—ὄντων] Genitive of a noun with participle after verbs of *knowing*, &c.: Dig. 26. The clause however is complicated by the presence of ὅτι, indicative of a momentary intention to adopt a finite instead of a participial construction: Dig. 279.

23. τοῖς ἕνδεκα] εἷς ἀφ' ἑκάστης φυλῆς ἐγίγνετο, καὶ γραμματεὺς ('secretary') αὐτοῖς συνηριθμεῖτο· Poll. viii. 102. They had charge of the prisons, as well as of the execution of sentences.

p. 37. ταὐτόν μοί ἐστιν, ὅπερ νῦν δὴ ἔλεγον· οὐ γὰρ ἔστι μοι χρήματα, ὁπόθεν ἐκτίσω. ἀλλὰ δὴ φυγῆς τιμήσωμαι; ἴσως γὰρ ἄν μοι τούτου τιμήσαιτε. πολλὴ μέντ' ἄν με φιλοψυχία ἔχοι, εἰ οὕτως ἀλόγιστός εἰμι, ὥστε μὴ δύνασθαι λογίζεσθαι, ὅτι ὑμεῖς μὲν ὄντες πολῖταί μου οὐχ οἷοί τε ἐγένεσθε ἐνεγκεῖν τὰς ἐμὰς d διατριβὰς καὶ τοὺς λόγους, ἀλλ' ὑμῖν βαρύτεραι γεγόνασι καὶ ἐπιφθονώτεραι, ὥστε ζητεῖτε αὐτῶν νυνὶ ἀπαλλαγῆναι· ἄλλοι δὲ ἄρα αὐτὰς οἴσουσι ῥᾳδίως. πολλοῦ γε δεῖ, ὦ 'Αθηναῖοι. καλὸς οὖν ἄν μοι ὁ βίος εἴη ἐξελθόντι τηλικῷδε ἀνθρώπῳ ἄλλην ἐξ ἄλλης πόλιν πόλεως ἀμειβομένῳ καὶ ἐξελαυνομένῳ ζῆν. εὖ γὰρ οἶδ' ὅτι, ὅποι ἂν ἔλθω, λέγοντος ἐμοῦ ἀκροάσονται οἱ νέοι ὥσπερ ἐνθάδε· κἂν μὲν τούτους ἀπελαύνω, οὗτοι ἐμὲ αὐτοὶ ἐξελῶσι, πείθοντες τοὺς e πρεσβυτέρους· ἐὰν δὲ μὴ ἀπελαύνω, οἱ τούτων πατέρες τε καὶ οἰκεῖοι δι' αὐτοὺς τούτους.

XXVIII. Ἴσως οὖν ἄν τις εἴποι· σιγῶν δὲ καὶ ἡσυχίαν ἄγων, ὦ Σώκρατες, οὐχ οἷός τ' ἔσει ἡμῖν ἐξελθὼν ζῆν; τουτὶ δή ἐστι πάντων χαλεπώτατον πεῖσαί τινας ὑμῶν. ἐάν τε γὰρ λέγω ὅτι τῷ θεῷ ἀπειθεῖν τοῦτ' ἐστὶ καὶ διὰ τοῦτ' ἀδύνατον ἡσυχίαν p. 38. ἄγειν, οὐ πείσεσθέ μοι ὡς εἰρωνευομένῳ· ἐάν τ' αὖ λέγω ὅτι καὶ τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι καὶ τῶν ἄλλων, περὶ ὧν ὑμεῖς ἐμοῦ ἀκούετε

20. τουτὶ] Cf. textual note on ταυτησί, 22 e.

2. ἀλλὰ δή] Introduces the last of a series of suppositions. Dig. 142.

9. ἄλλοι δὲ ἄρα] Ironical.

11. ἐξελθόντι] 'If I quit the city:' as below e, ἐξελθὼν ζῆν.

20. τουτὶ] Namely, ὅτι οὐχ οἷός τε ἔσομαι.

διαλεγομένου καὶ ἐμαυτὸν καὶ ἄλλους ἐξετάζοντος, ὁ δὲ ἀνεξέταστος βίος οὐ βιωτὸς ἀνθρώπῳ, ταῦτα δ' p. 38.

1. ὁ ἀνεξέταστος — ἀνθρώπῳ] The interrogatory discipline which Socrates thus extols was that to which he sought to bring all with whom he conversed.

The subject, about which the answerer was questioned, was himself: which is the reason why Socrates always identified the process with the carrying out of the Delphic precept, *Γνῶθι σεαυτόν*. The branches of enquiry to which it led were manifold:—

(1) knowledge of one's own natural endowments and position, with a view to living for the greatest good of oneself and others:—*ὁ ἑαυτὸν ἐπισκεψάμενος ὁποῖός τίς ἐστι πρὸς τὴν ἀνθρωπίνην χρείαν* κ.τ.λ. Xen. Mem. IV. ii. 25:

(2) review of the actual use to which one has been and is putting one's life—Laches 187 e, *διδόναι περὶ αὑτοῦ λόγον, ὅντινα τρόπον νῦν τε ζῇ καὶ ὅντινα τὸν παρεληλυθότα χρόνον βεβίωκεν*· and below 39 c, *διδόναι ἔλεγχον τοῦ βίου*·

(3) examination of one's opinions, — their coherence, their consistency, the history of their formation; of which the results are—consciousness of one's own ignorance, and consciousness of the grounds of one's knowledge: Xen. Mem. III. ix. 6, Soph. 230 b—d:

(4) investigation of the principles of human life and action (for which the knowledge of one's own nature is a prerequisite: Alc. I. 133 c, *ἆρ' οὖν μὴ γιγνώσκοντες ἡμᾶς αὐτοὺς . . . δυναίμεθ' ἂν εἰδέναι τὰ ἡμέτερα αὐτῶν κακά τε καὶ ἀγαθά*;)—Xen. Mem. I. i. 16, *περὶ τῶν ἀνθρωπείων ἀεὶ διελέγετο σκοπῶν τί εὐσεβές, τί ἀσεβές, τί καλόν, τί αἰσχρόν, τί δίκαιον, τί ἄδικον, τί σωφροσύνη, τί μανία, τί ἀνδρεία, τί δειλία, τί πόλις, τί πολιτικός, τί ἀρχὴ ἀνθρώπων, τί ἀρχικὸς ἀνθρώπων, καὶ περὶ τῶν ἄλλων, ἃ τοὺς μὲν εἰδότας ἡγεῖτο καλοὺς κἀγαθοὺς εἶναι, τοὺς δ' ἀγνοοῦντας ἀνδραποδώδεις ἂν δικαίως κεκλῆσθαι*· and here (just above) *τυγχάνει μέγιστον ἀγαθὸν ὂν ἀνθρώπῳ τοῦτο, ἑκάστης ἡμέρας περὶ ἀρετῆς τοὺς λόγους ποιεῖσθαι.*

But this examination was not a mere discipline ending in itself, but a preparation to qualify a man for receiving culture and improvement (Alc. I. 124 d, *ἐπιμελείας δεόμεθα*, Laches 188 b, *ἀξιοῦντα μανθάνειν ἕωσπερ ἂν ζῇ*), for attaining connectedness of knowledge and rational method in action, and for doing the best by himself and the state.

Socrates seems to have employed the strongest terms he could find to assert the indispensableness of this discipline: —Xen. Mem. I. i. 16 (quoted above), III. ix. 6, *τὸ ἀγνοεῖν ἑαυτόν, καὶ ἃ μὴ οἶδε δοξάζειν τε καὶ οἴεσθαι γιγνώσκειν, ἐγγυτάτω μανίας ἐλογίζετο εἶναι*, Soph. 230 d, *τὸν δ' ἀνέλεγκτον αὖ νομιστέον, ἂν καὶ τυγχάνῃ βασιλεὺς ὁ μέγας ὤν, τὰ μέγιστα ἀκάθαρτον ὄντα, ἀπαίδευτόν τε καὶ αἰσχρὸν* κ.τ.λ., Hip. Ma. 304 e, *τὸ καλὸν ἀγνοῶν· καὶ ὅποτε οὕτω διάκεισαι, οἴει σοι*

p. 38. ἔτι ἧττον πείσεσθέ μοι λέγοντι. τὰ δὲ ἔχει μὲν οὕτως, ὡς ἐγώ φημι, ὦ ἄνδρες, πείθειν δὲ οὐ ῥᾴδιον. καὶ ἐγὼ ἅμ' οὐκ εἴθισμαι ἐμαυτὸν ἀξιοῦν κακοῦ οὐδενός. εἰ μὲν γὰρ ἦν μοι χρήματα, ἐτιμησάμην
b ἂν χρημάτων ὅσα ἔμελλον ἐκτίσειν· οὐδὲν γὰρ ἂν ἐβλάβην· νῦν δὲ οὐ γὰρ ἔστιν, εἰ μὴ ἄρα ὅσον ἂν ἐγὼ δυναίμην ἐκτῖσαι, τοσούτου βούλεσθέ μοι τιμῆσαι. ἴσως δ' ἂν δυναίμην ἐκτῖσαι ὑμῖν μνᾶν ἀργυρίου· τοσούτου οὖν τιμῶμαι. Πλάτων δὲ ὅδε, ὦ ἄνδρες Ἀθηναῖοι, καὶ Κρίτων καὶ Κριτόβουλος καὶ
c Ἀπολλόδωρος κελεύουσί με τριάκοντα μνῶν τιμήσασθαι, αὐτοὶ δ' ἐγγυᾶσθαι· τιμῶμαι οὖν τοσούτου, ἐγγυηταὶ δ' ὑμῖν ἔσονται τοῦ ἀργυρίου οὗτοι ἀξιόχρεῳ.

κρεῖττον εἶναι ζῆν μᾶλλον ἢ τεθνάναι; and in the passage before us.

And was there not a cause? The current opinions, drawn from men's practical exigencies, imperfect observation, and debased morality, were no sounder than their sources. It was abhorrence of this mass of error and conventionality (which meanwhile the Sophists were accepting as the material of their system), which impelled Socrates to seek to reconstruct human opinion on a basis of 'reasoned truth.'

3. *καὶ ἐγὼ ἅμ'*] A supplementary reason;—'Were silence possible, it would be no less a *κακόν*' which therefore I should decline imposing on myself.'

6. *νῦν δὲ οὐ γὰρ*] This combination of particles occurs always in setting aside a hypothetical case which is the opposite of the existing state of the case. The *δὲ* and the *γὰρ* enter simultaneously into the combination, where there is no ellipse nor aposiopesis. Dig. 149.

12. *ἐγγυᾶσθαι*] Governed by an equivalent of 'they say' contained in *κελεύουσι*. Cf. Symp. 213 a, *πάντας οὖν . . . κελεύειν εἰσιέναι καὶ κατακλίνεσθαι, καὶ τὸν Ἀγάθωνα καλεῖν αὐτόν*. Dig. 245.

13. *ἀξιόχρεῳ*.] The third and last division of the pleadings being thus concluded, there would follow first the final voting and then the final verdict of the judges: by which the formal trial would be concluded.

After this, however, some 'last words' are still conceded to Socrates, who continues to address those of his judges

C. Last reflections, addressed to the judges: a. to those who had voted for his condemnation;

XXIX. Οὐ πολλοῦ γ' ἕνεκα χρόνου, ὦ ἄνδρες p. 38.
Ἀθηναῖοι, ὄνομα ἕξετε καὶ αἰτίαν ὑπὸ τῶν βουλομένων τὴν πόλιν λοιδορεῖν, ὡς Σωκράτη ἀπεκτόνατε, ἄνδρα σοφόν· φήσουσι γὰρ δή με σοφὸν εἶναι, εἰ καὶ μὴ εἰμί, οἱ βουλόμενοι ὑμῖν ὀνειδίζειν. εἰ οὖν περιεμείνατε ὀλίγον χρόνον, ἀπὸ τοῦ αὐτομάτου ἂν ὑμῖν τοῦτο ἐγένετο· ὁρᾶτε γὰρ δὴ τὴν ἡλικίαν, ὅτι πόρρω ἤδη ἐστὶ τοῦ βίου, θανάτου δὲ ἐγγύς. λέγω δὲ τοῦτο οὐ πρὸς πάντας ὑμᾶς, ἀλλὰ πρὸς τοὺς ἐμοῦ d καταψηφισαμένους θάνατον. λέγω δὲ καὶ τόδε πρὸς τοὺς αὐτοὺς τούτους. ἴσως με οἴεσθε, ὦ ἄνδρες, ἀπορίᾳ λόγων ἑαλωκέναι τοιούτων, οἷς ἂν ὑμᾶς ἔπεισα, εἰ ᾤμην δεῖν ἅπαντα ποιεῖν καὶ λέγειν, ὥστε ἀποφυγεῖν τὴν δίκην. πολλοῦ γε δεῖ. ἀλλ' ἀπορίᾳ μὲν ἑάλωκα, οὐ μέντοι λόγων, ἀλλὰ τόλμης καὶ ἀναισχυντίας καὶ τοῦ ἐθέλειν λέγειν πρὸς ὑμᾶς τοιαῦτα, οἳ ἂν ὑμῖν ἥδιστ' ἦν ἀκούειν, θρηνοῦντός τέ μου καὶ ὀδυρομένου καὶ ἄλλα ποιοῦντος καὶ λέγοντος πολλὰ e καὶ ἀνάξια ἐμοῦ, ὡς ἐγὼ φημι· οἷα δὴ καὶ εἴθισθε ὑμεῖς τῶν ἄλλων ἀκούειν. ἀλλ' οὔτε τότε ᾠήθην

who choose to remain and hear him.

Whether such a concession was actually made to Socrates, or whether it was only a sufficiently common practice to give verisimilitude to the fiction, is a question which can hardly be determined. See Introd. p. vii.

1. *οὐ πολλοῦ γ' ἕνεκα χρόνου*] Socrates is telling the Athenians that they would not have had to wait long to be saved the reproach of putting him to death, by letting nature take her own course. 'It was but a brief space after all, by forestalling which they were entailing on themselves the reproach.' *ἕνεκα* marks here the efficient not the final cause; the meaning is not 'you will incur reproach for the sake of taking from me a brief remainder of life,'—but 'a brief space will be the cause of your incurring it.' The 'brief space,' accordingly, is not that between the present moment and his execution, but that between his execution and the moment when he would have died in the course of nature.

p. 38. δεῖν ἕνεκα τοῦ κινδύνου πρᾶξαι οὐδὲν ἀνελεύθερον, οὔτε νῦν μοι μεταμέλει οὕτως ἀπολογησαμένῳ, ἀλλὰ πολὺ μᾶλλον αἱροῦμαι ὧδε ἀπολογησάμενος τεθνάναι ἢ ἐκείνως ζῆν· οὔτε γὰρ ἐν δίκῃ οὔτ' ἐν πολέμῳ οὔτ'
p. 39. ἐμὲ οὔτ' ἄλλον οὐδένα δεῖ τοῦτο μηχανᾶσθαι, ὅπως ἀποφεύξεται πᾶν ποιῶν θάνατον. καὶ γὰρ ἐν ταῖς μάχαις πολλάκις δῆλον γίγνεται ὅτι τό γε ἀποθανεῖν ἄν τις ἐκφύγοι καὶ ὅπλα ἀφεὶς καὶ ἐφ' ἱκετείαν τραπόμενος τῶν διωκόντων· καὶ ἄλλαι μηχαναὶ πολλαί εἰσιν ἐν ἑκάστοις τοῖς κινδύνοις, ὥστε διαφεύγειν θάνατον, ἐάν τις τολμᾷ πᾶν ποιεῖν καὶ λέγειν. ἀλλὰ μὴ οὐ τοῦτ' ᾖ χαλεπόν, ὦ ἄνδρες, θάνατον ἐκφυγεῖν, ἀλλὰ πολὺ χαλεπώτερον πονηρίαν· θᾶττον γὰρ θα-
b νάτου θεῖ. καὶ νῦν ἐγὼ μὲν ἅτε βραδὺς ὢν καὶ πρεσβύτης ὑπὸ τοῦ βραδυτέρου ἑάλων, οἱ δ' ἐμοὶ κατήγοροι ἅτε δεινοὶ καὶ ὀξεῖς ὄντες ὑπὸ τοῦ θάττονος, τῆς κακίας. καὶ νῦν ἐγὼ μὲν ἄπειμι ὑφ' ὑμῶν θανάτου δίκην ὄφλων, οὗτοι δ' ὑπὸ τῆς ἀληθείας

7. *τό γε ἀποθανεῖν ἄν τις*] Before ἄν VH have ῥᾷον· BSZ reject it. H errs in thinking that ῥᾷον exists in Oxon.—no doubt misled by Gaisf. Lectt. Plat., in whom "p. 39 a 3 ῥᾴον" must be an erratum for "ῥᾴον om."

4. *ἐκείνως*] Understand *ἀπολογησάμενος* again.

12. *μὴ . . . ᾖ*] An instance of the *presumptive* variety of the deliberative conjunctive. It is confined to negative sentences. Dig. 59 note.

13. *θᾶττον γὰρ θ. θεῖ*] This refers to the reflex effect of wickedness on the evildoer's soul, which it degrades and ruins. Cf. Crito 47 e, *ἀλλὰ μετ' ἐκείνου* (sc. the soul) *ἆρα ἡμῖν βιωτὸν διεφθαρμένου, ᾧ τὸ ἄδικον λωβᾶται κ.τ.λ.*; Gorg. 509 a, *μέγιστον τῶν κακῶν ἐστὶν ἡ ἀδικία τῷ ἀδικοῦντι.* Between danger and death there is many a chance of escape, as Socrates has just before said; but none between the evil deed and its internal consequences. Stallb.'s quotation of Odyss. viii. 329, *οὐκ ἀρετᾷ κακὰ ἔργα· κιχάνει τοι βραδὺς ὠκύν*· is not to the point.

18. *ὑπὸ—ὠφληκότες*] 'Sentenced by Truth to receive the penalty of.'—Whewell.

ὠφληκότες μοχθηρίαν καὶ ἀδικίαν. καὶ ἐγώ τε τῷ p. 39.
τιμήματι ἐμμένω καὶ οὗτοι. ταῦτα μέν που ἴσως
οὕτω καὶ ἔδει σχεῖν, καὶ οἶμαι αὐτὰ μετρίως ἔχειν.

XXX. Τὸ δὲ δὴ μετὰ τοῦτο ἐπιθυμῶ ὑμῖν χρη-
σμῳδῆσαι, ὦ καταψηφισάμενοί μου· καὶ γάρ εἰμι c
ἤδη ἐνταῦθα, ἐν ᾧ μάλιστ' ἄνθρωποι χρησμῳδοῦσιν,
ὅταν μέλλωσιν ἀποθανεῖσθαι. φημὶ γάρ, ὦ ἄνδρες,
οἳ ἐμὲ ἀπεκτόνατε, τιμωρίαν ὑμῖν ἥξειν εὐθὺς μετὰ
τὸν ἐμὸν θάνατον πολὺ χαλεπωτέραν νὴ Δί' ἢ οἵαν
ἐμὲ ἀπεκτόνατε· νῦν γὰρ τοῦτο εἰργάσασθε οἰόμενοι
ἀπαλλάξεσθαι τοῦ διδόναι ἔλεγχον τοῦ βίου, τὸ δὲ

10. οἰόμενοι] After οἰόμενοι H inserts conjecturally μὲν, taking this to be suggested by οἰόμενοί με of some MSS., and by an erased blank in Oxon. The erasure in Oxon. was probably με, for an accent has been erased also from —οι. This however may have been an erasure by the original scribe; such as for instance must have been that at Crito 53 d, where stands δι φθέραν with an erasure between—διφθέραν being plainly the true reading.

1. ἐγώ τε . . . καὶ οὗτοι] 'I as well as they.' ἐγὼ has the stress, and stands (in accordance with Greek arrangement) first for that reason. Dig. 307.

6. ἐν ᾧ—χρησμῳδοῦσιν] The opinion, which connects prophetic enlightenment with the approach of death, has maintained its hold upon mankind in all ages. Patroclus foretells Hector's death, Il. xvi. 851, and Hector the death of Achilles, Il. xxii. 358: instances to which classical writers often appeal; thus Xen. Apol. 30, ἀνέθηκε μὲν καὶ Ὅμηρος ἔστιν οἷς τῶν ἐν καταλύσει τοῦ βίου προγιγνώσκειν τὰ μέλλοντα, βούλομαι δὲ καὶ ἐγὼ χρησμῳδῆσαί τι, Cic. De Div. I. 30, Facilius evenit appropinquante morte ut animi futura augurentur; ex quo et illud est Calani, de quo ante dixi, et Homerici Hectoris qui moriens propinquam Achilli mortem denuntiat. So Shakspeare, Rich. II. Act II. Sc. i. (Gaunt) "Methinks, I am a prophet new inspir'd; And thus, expiring, do foretell of him." And Sir H. Davy ("Remains," p. 311) speaks of himself as "looking into futurity with the prophetic aspirations belonging to the last moments of existence"—in a letter dated just two months before his death.

9. οἵαν] Sc. τιμωρίαν. A virtual cognate accusative after ἀπεκτόνατε. Dig. 1.

11. διδόναι ἔλεγχον] Namely, under the process of ἐξέτασις· cf. 38 a note, and esp. Laches 187 e there quoted.

p. 39. ὑμῖν πολὺ ἐναντίον ἀποβήσεται, ὡς ἐγώ φημι. πλεί-
d ους ἔσονται ὑμᾶς οἱ ἐλέγχοντες, οὓς νῦν ἐγὼ κατεῖχον,
ὑμεῖς δὲ οὐκ ᾐσθάνεσθε· καὶ χαλεπώτεροι ἔσονται
ὅσῳ νεώτεροί εἰσι, καὶ ὑμεῖς μᾶλλον ἀγανακτήσετε.
εἰ γὰρ οἴεσθε ἀποκτείνοντες ἀνθρώπους ἐπισχήσειν
τοῦ ὀνειδίζειν τινὰ ὑμῖν ὅτι οὐκ ὀρθῶς ζῆτε, οὐκ ὀρ-
θῶς διανοεῖσθε· οὐ γάρ ἐσθ' αὕτη ἡ ἀπαλλαγὴ οὔτε
πάνυ δυνατὴ οὔτε καλή, ἀλλ' ἐκείνη καὶ καλλίστη
καὶ ῥᾴστη, μὴ τοὺς ἄλλους κολούειν, ἀλλ' ἑαυτὸν
παρασκευάζειν ὅπως ἔσται ὡς βέλτιστος. ταῦτα
μὲν οὖν ὑμῖν τοῖς καταψηφισαμένοις μαντευσάμενος
e ἀπαλλάττομαι.

XXXI. Τοῖς δὲ ἀποψηφισαμένοις ἡδέως ἂν διαλεχθείην ὑπὲρ τοῦ γεγονότος τουτουὶ πράγματος, ἐν ᾧ οἱ ἄρχοντες ἀσχολίαν ἄγουσι καὶ οὔπω ἔρχομαι οἷ ἐλθόντα με δεῖ τεθνάναι. ἀλλά μοι, ὦ ἄνδρες, παραμείνατε τοσοῦτον χρόνον· οὐδὲν γὰρ κωλύει
p. 40. διαμυθολογῆσαι πρὸς ἀλλήλους, ἕως ἔξεστιν. ὑμῖν γὰρ ὡς φίλοις οὖσιν ἐπιδεῖξαι ἐθέλω τὸ νυνί μοι ξυμβεβηκὸς τί ποτε νοεῖ. ἐμοὶ γάρ, ὦ ἄνδρες δικασταί—ὑμᾶς γὰρ δικαστὰς καλῶν ὀρθῶς ἂν καλοίην —θαυμάσιόν τι γέγονεν. ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν· νυνὶ δὲ

b. to those who had voted for his acquittal.

15. οἱ ἄρχοντες] That is, οἱ ἕνδεκα.

20. δικασταί] Steinhart remarks that up to this point, where first the true and false judges are separated, the form of the address used has been ὦ ἄνδρες Ἀθηναῖοι.

22. ἡ εἰωθυῖα] 'The direction I am wont to receive from the divine voice.' See App. A, on τὸ δαιμόνιον.

24. πάνυ ἐπὶ σμικροῖς] ἐπὶ separates πάνυ from σμικροῖς, to which it belongs: Dig. 298.

ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτὶ ἅ γε δὴ p. 40.
οἰηθείη ἄν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι.
ἐμοὶ δὲ οὔτε ἐξιόντι ἔωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ b
θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ
δικαστήριον, οὔτ' ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι
ἐρεῖν· καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με
ἐπέσχε λέγοντα μεταξύ· νυνὶ δὲ οὐδαμοῦ περὶ ταύ-
την τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ
ἠναντίωταί μοι. τί οὖν αἴτιον εἶναι ὑπολαμβάνω;
ἐγὼ ὑμῖν ἐρῶ· κινδυνεύει γάρ μοι τὸ ξυμβεβηκὸς
τοῦτο ἀγαθὸν γεγονέναι, καὶ οὐκ ἔσθ' ὅπως ἡμεῖς
ὀρθῶς ὑπολαμβάνομεν, ὅσοι οἰόμεθα κακὸν εἶναι τὸ c
τεθνάναι. μέγα μοι τεκμήριον τούτου γέγονεν· οὐ
γὰρ ἔσθ' ὅπως οὐκ ἠναντιώθη ἄν μοι τὸ εἰωθὸς
σημεῖον, εἰ μή τι ἔμελλον ἐγὼ ἀγαθὸν πράξειν.

XXXII. Ἐννοήσωμεν δὲ καὶ τῇδε, ὡς πολλὴ
ἐλπίς ἐστιν ἀγαθὸν αὐτὸ εἶναι. δυοῖν γὰρ θάτερόν
ἐστι τὸ τεθνάναι· ἢ γὰρ οἷον μηδὲν εἶναι μηδ' αἴσθη-
σιν μηδεμίαν μηδενὸς ἔχειν τὸν τεθνεῶτα, ἢ κατὰ τὰ
λεγόμενα μεταβολή τις τυγχάνει οὖσα καὶ μετοίκησις

5. *μέλλοντί τι*] This accurately represents the reading of Oxon., which stands *μέλλοντί τι* (*τί* being prima manu), importing that *τι* should follow *μέλλοντι*. Gaisford here is inexact in his representation. 7. *ταύτην*] So VBH; *αὐτὴν* SZ. It is impossible to find a clear meaning for *αὐτὴν*, which is the reading of Oxon. and five other MSS. Cf. Phædo 60 a, where Oxon. (alone) has *ταύτην* for *αὐτήν*.

4. *ἐνταυθοῖ ἐπὶ τὸ δικ.*] An emphasised equivalent of *ἐπὶ τόδε τὸ δικ.* Cf. Legg. 679 d, *κατὰ πόλιν μόνον αὐτοῦ*, equivalent to *κατ' αὐτὴν μόνον τὴν πόλιν*, Thucyd. vii. 16, *τῶν αὐτοῦ ἐκεῖ δύο προείλοντο*, viii. 28, *καὶ ἐς τὴν Μίλητον αὐτοῦ Φίλιππον καθιστᾶσι*.

18. *οἷον·*] 'As it were.' Parenthetical to the construction. The words which it qualifies are *μηδὲν εἶναι*. (The subject of *μηδὲν εἶναι* is *τὸν τεθνεῶτα*). Dig. 16. Cf. below, *οἷον ὕπνος*, and again e, *οἷον ἀποδημῆσαι*.

19. *τὰ λεγόμενα*] In the popular religious teaching.

p. 40. τῇ ψυχῇ τοῦ τόπου τοῦ ἐνθένδε εἰς ἄλλον τόπον.
d καὶ εἴ γε μηδεμία αἴσθησίς ἐστιν, ἀλλ' οἷον ὕπνος,
ἐπειδάν τις καθεύδων μηδ' ὄναρ μηδὲν ὁρᾷ, θαυμά-
σιον κέρδος ἂν εἴη ὁ θάνατος. ἐγὼ γὰρ ἂν οἶμαι, εἴ
τινα ἐκλεξάμενον δέοι ταύτην τὴν νύκτα, ἐν ᾗ οὕτω
κατέδαρθεν, ὥστε μηδ' ὄναρ ἰδεῖν, καὶ τὰς ἄλλας
νύκτας τε καὶ ἡμέρας τὰς τοῦ βίου τοῦ ἑαυτοῦ ἀντι-
παραθέντα ταύτῃ τῇ νυκτὶ δέοι σκεψάμενον εἰπεῖν,
πόσας ἄμεινον καὶ ἥδιον ἡμέρας καὶ νύκτας ταύτης
τῆς νυκτὸς βεβίωκεν ἐν τῷ ἑαυτοῦ βίῳ, οἶμαι ἂν μὴ
e ὅτι ἰδιώτην τινά, ἀλλὰ τὸν μέγαν βασιλέα εὐαριθμή-
τους ἂν εὑρεῖν αὐτὸν ταύτας πρὸς τὰς ἄλλας ἡμέρας καὶ
νύκτας. εἰ οὖν τοιοῦτον ὁ θάνατός ἐστι, κέρδος ἔγωγε
λέγω· καὶ γὰρ οὐδὲν πλείων ὁ πᾶς χρόνος φαίνεται
οὕτω δὴ εἶναι ἢ μία νύξ. εἰ δ' αὖ οἷον ἀποδημῆσαί
ἐστιν ὁ θάνατος ἐνθένδε εἰς ἄλλον τόπον, καὶ ἀληθῆ
ἐστὶ τὰ λεγόμενα, ὡς ἄρα ἐκεῖ εἰσὶν ἅπαντες οἱ τεθ-
νεῶτες, τί μεῖζον ἀγαθὸν τούτου εἴη ἄν, ὦ ἄνδρες
p. 41. δικασταί; εἰ γάρ τις ἀφικόμενος εἰς Ἅιδου, ἀπαλ-
λαγεὶς τούτων τῶν φασκόντων δικαστῶν εἶναι, εὑρή-
σει τοὺς ὡς ἀληθῶς δικαστάς, οἵπερ καὶ λέγονται
ἐκεῖ δικάζειν, Μίνως τε καὶ Ῥαδάμανθυς καὶ Αἰακὸς

21. ὡς] So VBS; ZH omit. Oxon. has it above the line but in first hand. The ὡς is constantly added where it is a popular appellation of which the propriety is recognised, and is frequently found after the article, as Phdr. 256 b, τῶν ὡς ἀληθῶς Ὀλυμπιακῶν, Rep. 345 e, τοὺς ὡς ἀληθῶς ἄρχοντας, &c., &c.

1. τῇ ψυχῇ] An intensified form of the dative of reference, equivalent nearly to a genitive: Dig. 28.

12. αὐτὸν] A resumption of ἰδιώτην τινά and βασιλέα, after the intervention of εὐαριθμ. ἂν εὑρεῖν.

22. Μίνως τε—ἄλλοι] These nouns are in the nominative by attraction to the interposed relative clause, *as the nearest construction*: Dig. 192.

Nowhere else does Triptolemus occur as judge of the dead (though in Hom. Hymn.

καὶ Τριπτόλεμος καὶ ἄλλοι ὅσοι τῶν ἡμιθέων δίκαιοι p. 41.
ἐγένοντο ἐν τῷ ἑαυτῶν βίῳ, ἆρα φαύλη ἂν εἴη ἡ
ἀποδημία; ἢ αὖ Ὀρφεῖ ξυγγενέσθαι καὶ Μουσαίῳ
καὶ Ἡσιόδῳ καὶ Ὁμήρῳ ἐπὶ πόσῳ ἄν τις δέξαιτ' ἂν
ὑμῶν; ἐγὼ μὲν γὰρ πολλάκις ἐθέλω τεθνάναι, εἰ
ταῦτ' ἐστὶν ἀληθῆ· ἐπεὶ ἔμοιγε καὶ αὐτῷ θαυμαστὴ b
ἂν εἴη ἡ διατριβὴ αὐτόθι, ὁπότε ἐντύχοιμι Παλαμήδει
καὶ Αἴαντι τῷ Τελαμῶνος καὶ εἴ τις ἄλλος τῶν
παλαιῶν διὰ κρίσιν ἄδικον τέθνηκεν, ἀντιπαραβάλ-

Demet. 153 he sits in judgment on earth). Also Plato is the only Greek who styles Æacus judge of the dead, here and Gorg. 523 e; though many Romans mention him thus. But the same principle accounts for the ascription of such a subterranean preeminence to these two, and to the remaining two more widely recognised judicial personages named here. All four were connected with the secret rites, or mysteries, of their native places; Minos with the Cretan mysteries, which through the Orphic influence were widely known. Rhadamanthus, his assessor, is his countryman. Æacus was the hero of Ægina, where there were (Pausan. II. 30, Origen adv. Cels. vi. 290. c. 22, Lucian, Navig. 15) mysteries of Orphic origin. And Triptolemus was connected, of course, with Eleusis. These judges are an instance of the fact that certain features of the Greek mythology were first the product of the mystery-worship, and thence made their way into the popular mind.—Döllinger, Gent. and Jew, Vol. I. Bk. iii. p. 175. The same account may be assumed to hold of the ἄλλοι τῶν ἡμιθέων, who are subjoined to these four; for very many places had mystery-rites. Rhadamanthus is mentioned in Homer, (Od. vii. 323), and therefore antecedently to mysteries, as a judge, but on earth and not in the nether world.

6. ἔμοιγε καὶ αὐτῷ] I. e. 'I should have a pleasure peculiarly my own.'

7. διατριβή] Cf. Euthyphro sub init., Legg. I. 625 a.

ὁπότε—τέθνηκεν] This depends upon ἀντιπαραβάλλοντι. The whole sentence ὁπότε—ἀηδὲς εἴη is a re-statement more at length of θαυμαστὴ ἂν εἴη ἡ διατριβή, which it follows asyndetically, —an instance of Binary Structure: Dig. 207.

9. ἀντιπαραβάλλοντι] Socrates' comparison of himself with Palamedes recalls the fable of the representation of the Palamedes of Euripides soon after Socrates' death, when, at the words ἐκάνετε ἐκάνετε τὸν πάνσοφον, ὦ Δαναοί, τὰν οὐδὲν ἀλγύνουσαν ἀηδόνα Μουσᾶν, τῶν ἑλλάνων τὸν ἄριστον, the whole

p. 41. λοντι τὰ ἐμαυτοῦ πάθη πρὸς τὰ ἐκείνων, ὡς ἐγὼ οἶμαι, οὐκ ἂν ἀηδὲς εἴη. καὶ δὴ τὸ μέγιστον, τοὺς ἐκεῖ ἐξετάζοντα καὶ ἐρευνῶντα ὥσπερ τοὺς ἐνταῦθα διάγειν, τίς αὐτῶν σοφός ἐστι καὶ τίς οἴεται μέν, ἔστι δ' οὔ. ἐπὶ πόσῳ δ' ἄν τις, ὦ ἄνδρες δικασταί, δέξαιτο ἐξετάσαι τὸν ἐπὶ Τροίαν ἄγοντα τὴν πολλὴν c στρατιὰν ἢ Ὀδυσσέα ἢ Σίσυφον, ἢ ἄλλους μυρίους ἄν τις εἴποι καὶ ἄνδρας καὶ γυναῖκας; οἷς ἐκεῖ διαλέγεσθαι καὶ ξυνεῖναι καὶ ἐξετάζειν ἀμήχανον ἂν εἴη εὐδαιμονίας. πάντως οὐ δήπου τούτου γε ἕνεκα οἱ ἐκεῖ ἀποκτείνουσι· τά τε γὰρ ἄλλα εὐδαιμονέστεροί εἰσιν οἱ ἐκεῖ τῶν ἐνθάδε, καὶ ἤδη τὸν λοιπὸν χρόνον ἀθάνατοί εἰσιν, εἴπερ γε τὰ λεγόμενα ἀληθῆ ἐστίν.

XXXIII. Ἀλλὰ καὶ ὑμᾶς χρή, ὦ ἄνδρες δικασταί, εὐέλπιδας εἶναι πρὸς τὸν θάνατον, καὶ ἕν τι d τοῦτο διανοεῖσθαι ἀληθές, ὅτι οὐκ ἔστιν ἀνδρὶ ἀγαθῷ κακὸν οὐδὲν οὔτε ζῶντι οὔτε τελευτήσαντι, οὐδὲ ἀμελεῖται ὑπὸ θεῶν τὰ τούτου πράγματα· οὐδὲ τὰ ἐμὰ νῦν ἀπὸ τοῦ αὐτομάτου γέγονεν, ἀλλά μοι δῆλόν ἐστι τοῦτο, ὅτι ἤδη τεθνάναι καὶ ἀπηλλάχθαι πραγ-

6. ἄγοντα] Edd. ἀγαγόντα. But there is strong syntactical justification (besides the weight of Oxon. and five other MSS.) for ἄγοντα. See Commentary.

audience, reminded of Socrates, burst into tears. Cf. Introd. p. xx. note 10.

6. ἄγοντα] Participle of the imperfect, which gives greater fullness and vividness than the aorist would have given. Cf. Legg. 635 a, καθάπερ μάντις ἀπὸν τῆς τότε διανοίας τοῦ τιθέντος αὐτά (meaning Lycurgus or Minos), 677 c, Θῶμεν δὴ τὰς ἐν πεδίῳ πόλεις . . . ἄρδην ἐν τῷ τότε χρόνῳ διαφθείρεσθαι (meaning at the Deluge).

7. ἢ ἄλλους—εἴποι] The desire for brevity in the summing up of the enumeration breaks off the legitimate plan of the sentence: Dig. 257.

16. ἀληθές] 'As a verity.' See 18 a, note.

20. πραγμάτων] The wants and hardships of old age. Cf. Xen. Apol. 32, ἐμοὶ μὲν οὖν δοκεῖ

μάτων βέλτιον ἦν μοι. διὰ τοῦτο καὶ ἐμὲ οὐδαμοῦ p. 41.
ἀπέτρεψε τὸ σημεῖον, καὶ ἔγωγε τοῖς καταψηφισα-
μένοις μου καὶ τοῖς κατηγόροις οὐ πάνυ χαλεπαίνω.
καίτοι οὐ ταύτῃ τῇ διανοίᾳ κατεψηφίζοντό μου καὶ
κατηγόρουν, ἀλλ' οἰόμενοι βλάπτειν· τοῦτο αὐτοῖς e
ἄξιον μέμφεσθαι. τοσόνδε δέομαι μέντοι αὐτῶν·
τοὺς υἱεῖς μου, ἐπειδὰν ἡβήσωσι, τιμωρήσασθε, ὦ
ἄνδρες, ταὐτὰ ταῦτα λυποῦντες, ἅπερ ἐγὼ ὑμᾶς ἐλύ-
πουν, ἐὰν ὑμῖν δοκῶσιν ἢ χρημάτων ἢ ἄλλου του
πρότερον ἐπιμελεῖσθαι ἢ ἀρετῆς, καὶ ἐὰν δοκῶσί τι
εἶναι μηδὲν ὄντες, ὀνειδίζετε αὐτοῖς, ὥσπερ ἐγὼ ὑμῖν,
ὅτι οὐκ ἐπιμελοῦνται ὧν δεῖ, καὶ οἴονταί τι εἶναι ὄντες
οὐδενὸς ἄξιοι. καὶ ἐὰν ταῦτα ποιῆτε, δίκαια πεπον- p. 42.
θὼς ἐγὼ ἔσομαι ὑφ' ὑμῶν αὐτός τε καὶ οἱ υἱεῖς.
ἀλλὰ γὰρ ἤδη ὥρα ἀπιέναι, ἐμοὶ μὲν ἀποθανουμένῳ,
ὑμῖν δὲ βιωσομένοις· ὁπότεροι δὲ ἡμῶν ἔρχονται ἐπὶ
ἄμεινον πρᾶγμα, ἄδηλον παντὶ πλὴν ἢ τῷ θεῷ.

6. *δέομαι μέντοι αὐτῶν*] Edd. *μέντοι αὐτῶν δέομαι*, and so all MSS. except Oxon. But which collocation most exactly suggests the emphasis required? The position of *μέντοι* has often to be referred to a subtle ear. Cf. 31 b, *καὶ εἰ μέντοι τι*, and Dig. 294. 17. *ἢ*] So edd., rightly. The weight of Oxon. with four other MSS., giving *εἰ*, is diminished by the itacism.

θεοφιλοῦς μοίρας τετυχηκέναι· τοῦ μὲν γὰρ βίου τὸ χαλεπώτατον ἀπέλιπε κ.τ.λ.

3. *οὐ πάνυ*] Here, as elsewhere, *οὐ πάνυ* marks only a bare denial: Dig. 139. Socrates is satisfied with saying, 'I have no sufficient cause to be displeased.' His *εἰρωνεία* would in no case have suffered him to say, 'I am far from being displeased.'

8. *ταὐτὰ ταῦτα λυποῦντες*] By plying them unweariedly with warning and remonstrance.

17. *πλὴν ἢ*] This combination is exactly parallel to *ἀλλ' ἤ*. The two particles enter the combination coordinately, introducing the exception to the preceding universal negative in their own several ways. *πλὴν* implies 'it is known to none,—saving that [in contradiction to this] it is known to God;' *ἤ*, less harshly, 'it is known to none, or however [only] to God.' See Dig. 148, and cf. Ar. Nub. 360, *οὐ γὰρ ἂν ἄλλῳ γ' ὑπακούσαιμεν . . . πλὴν ἢ Προδίκῳ.*

APPENDIX A.

Τὸ δαιμόνιον.

The word δαίμων was used to denote either θεὸς or a spiritual being inferior to θεός. Its distinctive meaning as applied to either class is that it denotes such a being *in his dealings with men.* From Homer to Plato δαίμων is persistently marked by this meaning[1]. Δαιμόνιος therefore denotes a connection with divine agency; and τὸ δαιμόνιον denotes sometimes such an agency, and sometimes the agent itself. So Aristotle (Rhet. II. xxiii. 8), τὸ δαιμόνιον οὐδέν ἐστιν ἀλλ' ἢ θεὸς ἢ θεοῦ[2] ἔργον, and for this distinction we may compare Plato (Phdr. 242 e), εἰ δ' ἔστιν ὥσπερ οὖν ἔστι θεὸς ἤ τι θεῖον ὁ Ἔρως. When we read in Xenophon (Mem. I. i. 2), διετεθρύλητο ὡς φαίη Σωκράτης τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν, both senses of the word are exemplified. Socrates meant by τὸ δαιμόνιον a divine agency; Meletus wrested this into the sense of a divine being. In the Apology Socrates marks the position as a caricature by the expression ἐπικωμωδῶν, and then gives the interpretation consistent with his own meaning—viz. δαιμόνια πράγματα. That Socrates is not speaking of a being is clear from other passages also, as when he says (Apol. 31 c), ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται, or (Phdr. 242 b), τὸ δαιμόνιόν τε καὶ τὸ εἰωθὸς σημεῖον γίγνεσθαι, or (Euthyd. 272 e), τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον, or (Theæt. 151 a), τὸ γιγνόμενόν μοι δαιμόνιον. Nor does Plato, who recognises the common notion

[1] In Plat. Symp. 202 d — 203 a, this view of δαίμων appears very distinctly, though there, as the doctrine held is that θεὸς ἀνθρώπῳ οὐ μίγνυται, all μαντικὴ is the province of the δαίμων.

[2] Whence the phrase of Æschines (iii. 117. p. 70) ἴσως δὲ καὶ δαιμονίου τινὸς ἐξαμαρτάνειν αὐτὸν προαγομένου is indeterminate.

of a personal attendant δαίμων (Legg. 730 a, Tim. 90 a), ever give this name to the phenomenon in question. Even Theages (as Zeller remarks, II. 65. n. 2) gives no personality to τὸ δαιμόνιον. Ἡ φωνὴ ἡ τοῦ δαιμονίου (Theag. 128 e) is ambiguous. Plato's use is sometimes adjectival (e. g. τὸ δαιμόνιον σημεῖον), and sometimes elliptically substantival. Grammatically, Xenophon confines himself to the latter use only,—still merely in the signification of a divine agency. Zeller notices that the interpretation of Socrates' δαιμόνιον as a being remained peculiar to his accusers (Cicero translating it by divinum quiddam, Divin. I. 54, not by genius), until it was revived by Plutarch, the Neo-Platonists, and the Christian Fathers.

What then were the nature and function of this δαιμόνιον σημεῖον?

Let us first consult Xenophon, in whom the chief passages are these:

Mem. I. i. 2–5, διετεθρύλητο γὰρ ὡς φαίη Σωκράτης τὸ δαιμόνιον ἑαυτῷ σημαίνειν· ὅθεν δὴ καὶ μάλιστά μοι δοκοῦσιν αὐτὸν αἰτιάσασθαι καινὰ δαιμόνια εἰσφέρειν. ὁ δὲ οὐδὲν καινότερον εἰσέφερε τῶν ἄλλων, ὅσοι μαντικὴν νομίζοντες οἰωνοῖς τε χρῶνται καὶ φήμαις καὶ συμβόλοις καὶ θυσίαις. οὗτοί τε γὰρ ὑπολαμβάνουσιν οὐ τοὺς ὄρνιθας οὐδὲ τοὺς ἀπαντῶντας εἰδέναι τὰ συμφέροντα τοῖς μαντευομένοις, ἀλλὰ τοὺς θεοὺς διὰ τούτων αὐτὰ σημαίνειν, κἀκεῖνος δὲ οὕτως ἐνόμιζεν. ἀλλ' οἱ μὲν πλεῖστοι φασὶν ὑπό τε τῶν ὀρνίθων καὶ τῶν ἀπαντώντων ἀποτρέπεσθαί τε καὶ προτρέπεσθαι· Σωκράτης δὲ, ὥσπερ ἐγίγνωσκεν, οὕτως ἔλεγε· τὸ δαιμόνιον γὰρ ἔφη σημαίνειν. καὶ πολλοῖς τῶν ξυνόντων προηγόρευε τὰ μὲν ποιεῖν, τὰ δὲ μὴ ποιεῖν, ὡς τοῦ δαιμονίου προσημαίνοντος. καὶ τοῖς μὲν πειθομένοις αὐτῷ συνέφερε, τοῖς δὲ μὴ πειθομένοις μετέμελε.

IV. iii. 12–13, Σοὶ δ', ἔφη, ὦ Σώκρατες, ἐοίκασιν ἔτι φιλικώτερον ἢ ἄλλοις χρῆσθαι [οἱ θεοί], εἴ γε μηδὲ ἐπερωτώμενοι ὑπὸ σοῦ προσημαίνουσί σοι ἅ τε χρὴ ποιεῖν καὶ ἃ μή. Ὅτι δέ γε ἀληθῆ λέγω καὶ σὺ, ὦ Εὐθύδημε, γνώσῃ, ἂν μὴ ἀναμένῃς ἕως ἂν τὰς μορφὰς τῶν θεῶν ἴδῃς, ἀλλ' ἐξαρκῇ σοι τὰ ἔργα αὐτῶν ὁρῶντι σέβεσθαι καὶ τιμᾶν τοὺς θεούς.

IV. viii. 1, φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν ὑπό τῶν δικαστῶν κατεγνώσθη θάνατος.

IV. viii. 5–6, Ἀλλὰ νὴ τὸν Δία, φάναι αὐτόν, ὦ Ἑρμόγενες, ἤδη μου ἐπιχειροῦντος φροντίσαι τῆς πρὸς τοὺς δικαστὰς ἀπολογίας ἠναντιώθη τὸ δαιμόνιον. καὶ αὐτὸς εἰπεῖν, Θαυμαστὰ λέγεις. τὸν δὲ, Θαυμάζεις, φάναι, εἰ τῷ θεῷ δοκεῖ βέλτιον εἶναι ἐμὲ τελευτᾶν τὸν βίον ἤδη;

IV. viii. 11, εὐσεβὴς οὕτως ὥστε μηδὲν ἄνευ τῆς τῶν θεῶν γνώμης ποιεῖν.

Symp. viii. 5, τοτὲ μὲν τὸ δαιμόνιον προφασιζόμενος οὐ διαλέγει μοι τοτὲ δ' ἄλλου του ἐφιέμενος.

To which must be added still from the Memorabilia, I. i. 19, *Σωκρατης ἡγεῖτο πάντα μὲν θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.*

Thus we see that Xenophon tells us nothing as to the nature of Socrates' *δαιμόνιον*, save that it was the instrument through which divine intimations reached him unsolicitedly. He adheres (unless we admit as his the *θεοῦ μοι φωνὴ φαίνεται* in § 12 of the Xenophontean Apology) to the expression *σημαίνειν τὸ δαιμόνιον*, meaning by this expression (as already said) that *τὸ δαιμόνιον* is but the instrument, while it is the gods who are the agents, whence in other passages we have as equivalent expressions [*θεοὶ*] *προσημαίνουσι* (Mem. IV. iii. 12), *τῷ θεῷ δοκεῖ* (ib. viii. 6), *θεῶν γνώμη* (ib. 11). Its intimations differ from those obtained by *μαντικὴ* in being given spontaneously. Socrates is represented as having thought himself singular, as a matter of fact, in possessing this gift. He did not urge others to seek for a similar sign. Although he believed (Mem. I. i. 19) *πάντα μὲν θεοὺς εἰδέναι . . . . πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων*, he seems either to have directed others to *μαντική* (Mem. I. i. 6), or the oracle (Cic. de Divin. i. 54), or to have given them the benefit of his own divine intimations (Mem. I. i. 4). He however believed that if others had not this gift, it was by their own fault (Mem. IV. iii. 13).

What its function was according to Xenophon, we gather from the identification of its province with that of *μαντική*, which is defined in Mem. I. i. 6–9, *ἀλλὰ μὴν ἐποίει καὶ τάδε πρὸς τοὺς ἐπιτηδείους· τὰ μὲν γὰρ ἀναγκαῖα συνεβούλευε καὶ πράττειν ὡς ἐνόμιζεν ἄριστ' ἂν πραχθῆναι· περὶ δὲ τῶν ἀδήλων ὅπως ἀποβήσοιτο μαντευσομένους ἔπεμπεν εἰ ποιητέα· καὶ τοὺς μέλλοντας οἴκους τε καὶ πόλεις καλῶς οἰκήσειν μαντικῆς ἔφη προσδεῖσθαι· τεκτονικὸν μὲν γὰρ ἢ χαλκευτικὸν ἢ γεωργικὸν ἢ ἀνθρώπων ἀρχικὸν ἢ τῶν τοιούτων ἔργων ἐξεταστικὸν ἢ λογιστικὸν ἢ οἰκονομικὸν ἢ στρατηγικὸν γενέσθαι, πάντα τὰ τοιαῦτα μαθήματα καὶ ἀνθρώπου γνώμῃ αἱρετὰ ἐνόμιζεν εἶναι· τὰ δὲ μέγιστα τῶν ἐν τούτοις ἔφη τοὺς θεοὺς ἑαυτοῖς καταλείπεσθαι, ὧν οὐδὲν δῆλον εἶναι τοῖς ἀνθρώποις . . . ἔφη δὲ δεῖν ἃ μὲν μαθόντας ποιεῖν ἔδωκαν οἱ θεοί, μανθάνειν, ἃ δὲ μὴ δῆλα τοῖς ἀνθρώποις ἐστί, πειρᾶσθαι διὰ μαντικῆς παρὰ τῶν θεῶν πυνθάνεσθαι· τοὺς θεοὺς γὰρ οἷς ἂν ὦσιν ἵλεῳ σημαίνειν.*

This accords with Plato, Apol. 40 a, *ἡ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου*. It was no such guide in the matter of right and wrong as conscience is; nor yet an universal oracle to reveal truths of science or of futurity. Its function was on the one hand practical

—to pronounce upon a proposed course of action, of which Socrates had cognisance, either as himself a party to it or in the interest of his friends—, on the other hand it pronounced not on the morality but on the expediency (in the Socratic sense of what was really for the best) of the proposed course. This would not exclude from its decision moral questions, where the obligation either was obscure or mainly depended on the consequences. It was not a mere presentiment, a foreboding of chance misfortune or of chance success, the mere reflection of a man's own feelings of happiness or gloom while in spite of them he carries out his course of action. It stamped in Socrates' belief a definite character of expediency or inexpediency on the course intended, and he never disobeyed it.

In Plato the notable passages are these:—Apol. 31 c–d, *τούτου δὲ αἴτιόν ἐστιν ὃ ὑμεῖς ἐμοῦ πολλάκις ἀκηκόατε πολλαχοῦ λέγοντος, ὅτι μοι θεῖόν τι καὶ δαιμόνιον γίγνεται φωνή, ὃ δὴ καὶ ἐν τῇ γραφῇ ἐπικωμῳδῶν Μέλητος ἐγράψατο. ἐμοὶ δὲ τοῦτ' ἐστὶν ἐκ παιδὸς ἀρξάμενον, φωνή τις γιγνομένη, ἣ ὅταν γένηται ἀεὶ ἀποτρέπει με τοῦτο, ὃ ἂν μέλλω πράττειν, προτρέπει δὲ οὔποτε. τοῦτ' ἔστιν ὅ μοι ἐναντιοῦται τὰ πολιτικὰ πράττειν.* 40 a–b, *ἡ γὰρ εἰωθυῖά μοι μαντικὴ ἡ τοῦ δαιμονίου ἐν μὲν τῷ πρόσθεν χρόνῳ παντὶ πάνυ πυκνὴ ἀεὶ ἦν καὶ πάνυ ἐπὶ σμικροῖς ἐναντιουμένη, εἴ τι μέλλοιμι μὴ ὀρθῶς πράξειν. νυνὶ δὲ ξυμβέβηκέ μοι, ἅπερ ὁρᾶτε καὶ αὐτοί, ταυτί, ἃ γε δὴ οἰηθείη ἄν τις καὶ νομίζεται ἔσχατα κακῶν εἶναι. ἐμοὶ δὲ οὔτε ἐξιόντι ἕωθεν οἴκοθεν ἠναντιώθη τὸ τοῦ θεοῦ σημεῖον, οὔτε ἡνίκα ἀνέβαινον ἐνταυθοῖ ἐπὶ τὸ δικαστήριον, οὔτ' ἐν τῷ λόγῳ οὐδαμοῦ μέλλοντί τι ἐρεῖν· καίτοι ἐν ἄλλοις λόγοις πολλαχοῦ δή με ἐπέσχε λέγοντα μεταξύ. νυνὶ δὲ οὐδαμοῦ περὶ ταύτην τὴν πρᾶξιν οὔτ' ἐν ἔργῳ οὐδενὶ οὔτ' ἐν λόγῳ ἠναντίωταί μοι.*—Euthyd. 272 e, *κατὰ θεὸν γάρ τινα ἔτυχον καθήμενος ἐνταῦθα, οὗπερ σύ με εἶδες, ἐν τῷ ἀποδυτηρίῳ μόνος, καὶ ἤδη ἐν νῷ εἶχον ἀναστῆναι· ἀνισταμένου δέ μου ἐγένετο τὸ εἰωθὸς σημεῖον τὸ δαιμόνιον. πάλιν οὖν ἐκαθεζόμην.*—Phdr. 242 b, *ἡνίκ' ἔμελλον, ὦγαθέ, τὸν ποταμὸν διαβαίνειν, τὸ δαιμόνιόν τε καὶ τὸ εἰωθὸς σημεῖόν μοι γίγνεσθαι ἐγένετο—ἀεὶ δέ με ἐπίσχει ὃ ἂν μέλλω πράττειν—, καί τινα φωνὴν ἔδοξα αὐτόθεν ἀκοῦσαι, ἥ με οὐκ ἐᾷ ἀπιέναι πρὶν ἂν ἀφοσιώσωμαι, ὡς τι ἡμαρτηκότα εἰς τὸ θεῖον.*—Alcib. I. init. 103 a–b, *τούτου δὲ τὸ αἴτιον γέγονεν οὐκ ἀνθρώπειον, ἀλλά τι δαιμόνιον ἐναντίωμα, οὗ σὺ τὴν δύναμιν καὶ ὕστερον πεύσει. νῦν δ' ἐπειδὴ οὐκέτι ἐναντιοῦται, οὕτω προσελήλυθα. εὔελπις δέ εἰμι καὶ τὸ λοιπὸν μὴ ἐναντιώσεσθαι αὐτό.*—Theæt. 151 a, *ἐνίοις μὲν τὸ γιγνόμενόν*

[3] Wiggers and Zeller have noticed this. Remark the contrast in the Apology. The matter of duty—not to desert the post of preacher to the Athenian people—is thrown on the divine mission (28 e), the matter of judgment—to abstain from politics—is attributed to the *δαιμόνιον* (31 d).

μοι δαιμόνιον ἀποκωλύει ξυνεῖναι ἐνίοις δὲ ἐᾷ.—Rep. 496 c, τὸ δ' ἡμέτερον οὐκ ἄξιον λέγειν, τὸ δαιμόνιον σημεῖον· ἢ γάρ πού τινι ἄλλῳ ἢ οὐδενὶ τῶν ἔμπροσθεν γέγονε. The passages in the Theages consist in part of parrot-like repetitions of descriptions of the phenomenon culled from various dialogues, in part of inventions founded on these.

The account in these passages exhibits some additions and variations as compared with that of Xenophon.

As to the nature of the phenomenon, it is explained to be a sign, which consists of articulate words, and the use of which corresponds to the μαντικὴ of other men. It is represented as a gift almost peculiar to Socrates, though by him possessed from his childhood upwards.

Its function seems somewhat heterogeneous, compared with what we have found it in Xenophon. Besides giving warnings as to an intended course of action, it reminds of a duty unperformed (Phdr.); or an advantage accrues from obeying it, which has no rational connection whatever with the obedience (Euthyd.). The tales of the Theages dwell on the marvel exclusively; yet, while they leave the φωνὴ unconnected with any act of the judgment, they leave room for supplying such a connection. Plato further tells us that its function was a negative one—ἀεὶ ἀποτρέπει προτρέπει δὲ οὔποτε (Apol.). The importance of this limitation shall be considered presently.

From these data we may now seek to arrive at a conclusion for ourselves. According to both Xenophon and Plato the fact itself, which Socrates accounted for by the δαιμόνιον σημεῖον, was a sudden sense, immediately before carrying a purpose into effect, of the expediency of abandoning it,—or, Xenophon would add, of prosecuting it. Meanwhile we are not bound to accept Socrates' account of the cause of this sudden feeling; first, because he was no psychologist, and while in his own belief he was merely describing his own consciousness,—or, as Xenophon says, ὥσπερ ἐγίγνωσκεν οὕτω καὶ ἔλεγε,—he was really importing into his description an inference of his own; secondly, because he rather diminishes the weight of his own testimony for us, not merely by his attention to dreams (Phædo 60 e), but more by his absolute faith in μαντικὴ and its use in obtaining for others the same divine guidance which he obtained unasked through the σημεῖον; and, thirdly, because while he believed himself to have detected divine agency here, he was perfectly unconscious of it in its more ordinary province, as the author of "all holy desires, all good counsels, and all just works." If, then,

declining Socrates' account, we are disposed to refer the phenomenon to ordinary psychological causes, we can do so satisfactorily, provided we confine our attention to Xenophon's account alone. All Xenophon's notices of it encourage the view, that it was a quick exercise of a judgment informed by knowledge of the subject, trained by experience, and inferring from cause to effect without consciousness of the process. In a mind so purified by temperance and self-knowledge, so single of purpose and unperturbed by lower aims, endowed with such powerful natural faculties, especially those of observation and of causality, the ability to forecast and forejudge might become almost an immediate sense. But it must be confessed that some of the features in Plato's account are a little embarrassing to this view. The singularity ascribed by Plato (Rep. 496 c) to the gift need not rank among these difficulties, since Xenophon mentions it as a *singular* characteristic of Socrates (Mem. IV. viii. 11) that he was *φρόνιμος ὥστε μὴ διαμαρτάνειν κρίνων τὰ βελτίω καὶ τὸ χείρω, μηδὲ ἄλλου προσδεῖσθαι ἀλλ' αὐτάρκης εἶναι πρὸς τὴν τούτων γνῶσιν*, which is the rationalised description of this very phenomenon. But the statement that Socrates enjoyed the gift from his earliest days is not fully consistent with the explanation just put forward,—with any consideration, that is, of the effect of observation, experience, moral training, or habit of mind. Again, as we have seen, two of the instances of the occurrence of the *σημεῖον* which are related in Plato preclude the explanation of an act of judgment. It is no judgment, however penetrating, which recalls Socrates from the stream he had purposed crossing and brings him back to Phædrus, or which forbids him to leave his seat just before the fortuitous entrance of Euthydemus and his companions. If we are to accept these features as historical, we must give up all attempt to rationalise the phenomenon at all, and fall back upon Socrates' own account as final. But, first, we have seen that there are reasons against accepting his account, and, secondly, against the historical probability of these two instances stands the fact that, though paralleled in Plutarch, they are unlike any other instances given by Xenophon and Plato; for (setting aside the Theages as apocryphal) in all the other instances it is implied that the course of action forbidden by the warning is prejudicial, not through its fortuitous consequences, but through something amiss in itself, and that the course upon which the agent is thrown back leads to the good result by a chain of means and not by a chain of accidents.

We must therefore adopt the alternative which involves less considerable difficulties, and regard Plato as less faithful than Xenophon in his illustration of the phenomenon. It is not difficult to suppose that by tracing it back to Socrates' boyhood nothing more may be intended than that his memory did not serve him to indicate the first beginning of those habits of observation and that moral and mental training from which the faculty grew. And as to the heterogeneous instances of warnings given by it, since as individual instances they are certainly inventions, part of the machinery of the dialogues in which they stand, it is doing no violence to Plato's genius to suppose, that as an inventor he has not scrupled to travesty the character which belonged to the actual and serious use of the gift, and to extend its operation playfully into the domain of chance.

There remains to be noticed in Plato's account the well-known restriction of *τὸ δαιμόνιον* to negative functions. In describing the sign as a voice, Plato adds (Apol. 31 d), *ἀεὶ ἀποτρέπει με τοῦτο ὃ ἂν μέλλω πράττειν προτρέπει δὲ οὔποτε.* One difficulty lies in the nature of the case. What kind of divine communication or what kind of judgment could that be which yielded only negative utterances? Certainly no act of judgment could be such: the same penetration which could discern the inexpediency of a course of action would serve for the discerning of the more expedient alternative. A divine communication might be imagined under any self-imposed restriction; still the restriction would, in proportion to its arbitrariness, discredit yet more this hypothesis, which we have already seen reason to abandon. Another difficulty lies in the conflict of testimony as to this peculiarity. Xenophon attributes to the sign an approving as well as disapproving force (Mem. IV. viii. 1, *φάσκοντος αὐτοῦ τὸ δαιμόνιον ἑαυτῷ προσημαίνειν ἅ τε δέοι καὶ ἃ μὴ δέοι ποιεῖν·* cf. I. i. 4, as quoted above). Cicero (De Divin. i. 54) simply echoes Plato. Plutarch (De Socr. Dæm. c. 11. p. 1015), agreeing with Xenophon, represents the sign as *κωλῦον ἢ κελεῦον.*

These are the two difficulties which have to be met. No attempt has been made to meet the first: the second has been met by swallowing the first whole, and supposing Xenophon to be in error in not distinguishing the actual communication made by the sign, and the inference which Socrates made from it, and which might (as in Apol. 40 a) be positive. But we shall meet both difficulties by some such explanation as the following. As to the reconcilement of authorities, when Plato makes Socrates say *ἀεὶ ἀποτρέπει με,* he

describes it by its most perceptible act, for its coincidence with an existing purpose would be superfluous and little noticeable. It was only when the presentiment ran counter to his will that Socrates became distinctly conscious of it. An illustration of this oversight occurs in the statement of some moderns concerning conscience, that it has only a negative function,—as if there were no such thing as "an approving conscience." In this case also the origin of the misstatement is the same, the more acute and marked character of the negative function. Thus it is the statement of Plato which needs to be supplemented, while that of Xenophon, so far from needing qualification, is alone commensurate with the common sense of the case. As to the fact to which Plato's notice points, the words *προτρέπει δὲ οὔποτε* would seem not to be an idle tautology, a reiteration of what we have seen to be a defective statement, but to mark another feature in the case. The Voice was no *impulse;* it did not speak to the will, but had a critical or reflexive function; it did not contribute to form a purpose, but pronounced judgment on a purpose already in being. Motives, on the other hand, impel the will always in some direction; they cannot be negative. Thus the setting forth the first part of the statement on the negative side only is justified in a way by the antithesis. And the meaning of the two clauses together is, that the Voice is a reflexive judgment on purposed actions, but does not supply motives of action.

The fact which *τὸ δαιμόνιον* represented was an unanalysed act of judgment,—not on a principle, but on a particular course of action already projected; not on the morality of this, but on its expediency in the Socratic sense of the term. It was *κριτική*, not *ἐπιτακτική*. Whatever connection it might really have with the springs of the will, would certainly be left out of the statement by one who could identify virtue with knowledge. It was Socrates' substitute for *μαντική*. This implies that in the province where men are wont to supplement the failure of penetration by external preternatural aids, Socrates refused, for himself, such irrational expedients, and found, in many instances at least, a guide within himself. But to this guide, being (as we have seen) the outcome of an assemblage of unanalysed processes of thought and judgment, he in all good faith gave a religious name. His mental acts, so far as he could unravel them, were his own, were human; beyond his ken they were divine; and what really was of the nature of an immediate critical sense seemed to him an immediate inspiration.

No Christian would be startled by a view which recognised every

part of his mental processes as performed in dependence on God,—nor on the other hand would he be shocked to hear them spoken of as independently and properly his own. So long as each view reached the whole way, he would be satisfied with it, and would comprehend it. What Socrates did was to halve each of these views, and to speak of his mental processes as human up to the point where he could still follow them,—beyond that as divine.

APPENDIX B.

DIGEST OF IDIOMS.

Idioms of Nouns :—Accusative Case, §§ 1—23.
Idioms of Nouns :—Genitive Case, §§ 24—27.
Idioms of Nouns :—Dative Case, §§ 28—29.
Idioms of the Article, §§ 30—39.
Idioms of Pronominal Words, §§ 40—55.
Idioms of Verbs, §§ 56—110.
Idioms of Prepositions, §§ 111—131.
Idioms of Particles, §§ 132—162.
Idioms of Comparison, §§ 163—178.
Idioms of Sentences :—Attraction, §§ 179—203.
Idioms of Sentences :—Binary Structure, §§ 204—230.
Idioms of Sentences :—Abbreviated Construction, §§ 231—261.
Idioms of Sentences :—Pleonasm of Construction, §§ 262—269.
Idioms of Sentences :—Changed Construction, §§ 270—286.
Idioms of Sentences :—Arrangement of Words and Clauses, §§ 287—311.
Rhetorical Figures, §§ 312—326.

§ 1. Idioms of Nouns :—Accusative Case.

Besides the Accusatives governed by Verbs Transitive, as such, occur the following, of a more Adverbial character.

A. Accusatives referable to the principle of the Cognate Accusative.

α. Direct and regular instances of the Cognate Accusative. It will suffice, as a notice of these, to point out that they are of two kinds only, viz.—

α. the Accusative of the Act or Effect signified by the Verb.

β. the Accusative of the Process indicated by the Verb.

Virtual Cognate Accusatives, i. e. such as are cognate in sense only and not etymologically, are intended to be here included. The "Accusative of the General Force of the Sentence" is really an Accusative of Apposition. See below, F (§§ 10–12).

§ 2. *b.* Accusatives which must be analysed as Adjectives or Pronouns *in agreement with* an unexpressed Cognate Accusative. These are commonly neuter (not always; cf. Hdt. v. 72, *κατέδησαν τὴν ἐπὶ θανάτῳ*).

Phædo 75 b, *ὁρᾷν καὶ ἀκούειν καὶ τἆλλα αἰσθάνεσθαι*—'perform the other acts of the senses.'

Ib. 85 b, *ἡγοῦμαι . . . οὐ χεῖρον ἐκείνων τὴν μαντικὴν ἔχειν.*

Symp. 205 b, *τὰ δὲ ἄλλα ἄλλοις καταχρώμεθα ὀνόμασιν*, i. e. 'in the other cases.' Stallbaum takes this of 'the other (*εἴδη*) species of things' which have to be named, 'quod ad cæteras attinet formas.' This might be; but the construction of the particular verb *χρῆσθαι* leads us the other way; cf. Thuc. ii. 15, *τῇ κρήνῃ . . . . ἐγγὺς οὔσῃ τὰ πλείστου ἄξια ἐχρῶντο*, Hdt. i. 132, *χρᾶται [τοῖς κρέασιν] ὅ τι μιν λόγος αἱρέει.*

